A FIRST GREEK READER

BY

R. A. A. BERESFORD, M.A.
Formerly Scholar of Selwyn College, Cambridge
Headmaster of Lydgate House Preparatory School, Hunstanton

AND

R. N. DOUGLAS, M.A.
Headmaster of Giggleswick School, Settle

WITH FIFTY-FOUR ILLUSTRATIONS

BLACKIE AND SON LIMITED
50 OLD BAILEY LONDON
GLASGOW AND BOMBAY



3 [Anderson Photo.

PARIS

PREFACE

THE book, as its name implies, is intended to meet the needs of beginners; it has consequently been carefully graduated, and the transition from single sentences to consecutive pieces made as easy as possible.

The text is mainly original, the subject-matter following the lines of Greek mythology and history. No notes of any kind have been added; the explanations of construction and reference being left entirely to the teacher.

Augments and compound verbs have been printed with a hyphen until the last few pieces, to facilitate the use of the vocabulary. In the vocabulary only such principal parts of verbs as are considered necessary are given, and those of the compound verbs will be found under the headings of their simple forms.

It may be mentioned that σσ has been used throughout for ττ and ξυν for συν, for reasons which it is beyond the scope of this preface to discuss.

The plentiful illustrations are, as in the *First Latin Reader*, a notable feature of the book; the object being to interest the mind of the pupil through the eye.

We take this opportunity of thanking the Rev. H. A. Rhodes, Headmaster of the Preparatory School of Christ's Hospital, for his kindness in revising the proofs.

R. A. A. BERESFORD.
ROBERT N. DOUGLAS.

CONTENTS

PART I.

Simple Sentences.


PART II.

Consecutive Pieces.

LIST OF ILLUSTRATIONS

FIRST GREEK READER

PART I




I. The Parthenon.

1. Ὁ Παρθενών ἐστιν ἱερὸν τῆς Ἀθήνης.
2. Ἡ Ἀθήνη ἦν τῶν Ἀθηναίων θεός.
3. Τοῦ Διὸς θυγάτηρ ἦν.
4. Τοῖς Ἀθηναίοις πολλοὶ θεοὶ ἦσαν.
5. Τὸ ἱερόν ἐστι μαρμάρινον.
6. Τὸ Πεντελικὸν πορίζει τοὺς λίθους.
7. Τὸ Πεντελικόν ἐστιν ὄρους τινὸς ὄνομα.
8. Οἱ λίθοι λευκοί εἰσιν.
9. Αἱ λιθοτομίαι ἔτι πορίζουσι λίθους.




II. Actors.

1. Πολλοὶ ἦσαν ποιηταὶ ἐν τοῖς Ἕλλησιν.
2. Οἱ Ἀθηναῖοι μάλιστα ἐ-τίμων τοὺς ποιητάς.
3. Οἱ μὲν κωμῳδίας, οἱ δὲ τραγῳδίας ἐ-ποίουν.
4. Τούτων μὲν ὁ Σοφοκλῆς, ἐκείνων δὲ ὁ Ἀριστοφάνης ἦν εὔδοξος.
5. Πλούσιός τις ἀνὴρ ἐ-χορήγει.
6. Οἱ πολῖται ἀθρόοι ἐ-φοίτων ἐς τὸ θέατρον.
7. Πρῶτον μὲν δύο, ἔπειτα δὲ τρεῖς ἦσαν ὑποκριταί.
8. Οἱ ὑποκριταὶ πρόσωπα ἐ-φόρουν.
9. Τὰ πρόσωπα παντοῖα ἦν καὶ θαυμάσια.



III. Arms.

1. Ὁ ὁπλίτης ὅπλα ἔ-φερε πολλὰ καὶ βαρέα.
2. Αἱ κνημῖδες[a] φυλάσσουσι τὰς κνήμας.
3. Χαλκοῦς θώραξ[b] σώζει τὸ στέρνον.
4. Ἡ κεφαλὴ φέρει κράνος[c] χαλκοῦν.
5. Ἵππιοι λόφοι ἐπι-νεύουσιν ἐπὶ τῷ κράνει.
6. Ἡ ἀριστερὰ ἔχει τὴν λαμπρὰν ἀσπίδα[d].
7. Πάντες οἱ ὁπλῖται δόρατα[e] φέρουσιν.
8. Ζωστήρ[f] τις σκύτινος ἀν-έχει τὸ ξίφος.
9. Τὸ ξίφος[g] ὀξύ ἐστιν.




IV. Torch-race.

1. Οἱ Ἀθηναῖοι ἐ-θεράπευον πολλοὺς θεούς.
2. Προμηθέα πυρὸς θεὸν ἐ-νόμιζον.
3. Ἡ Ἄρτεμις σεμνὴ ἦν αὐτοῖς.
4. Κατ' ἐνιαυτὸν τὴν λαμπαδηδρομίαν ἦγον.
5. Πολλοὶ νεανίαι ἠγωνίζοντο.
6. Ἕκαστος λαμπάδα ἔ-φερεν.
7. Ὡρμῶντο μὲν ἐκ τοῦ Κεραμεικοῦ.
8. Ἔ-τρεχον δὲ ἐς τὴν ἀκρόπολιν.
9. Ὅστις πρῶτος ἀφ-ίκετο τὴν λαμπάδα ἔτι αἰθομένην ἔχων, ἐ-νίκα.



V. The Winds.

1. Αἴολος βασιλεύς ἐστι τῶν ἀνέμων.
2. Βορέας ἐστὶ χαλεπώτατος πάντων τῶν ἀνέμων.
3. Τόδε μὲν τὸ πνεῦμα φέρεται ἀπὸ τῆς ἄρκτου.
4. Ὁ δὲ Νότος ὑγρὸς καὶ βαρύς ἐστιν.
5. Ἐκεῖνος γὰρ ὄμβρους ἐκ τῆς θαλάσσης φέρει.
6. Ὁ δὲ Ζέφυρος πραότερος καὶ εὐμενέστερός ἐστιν.
7. Οὗτος ὁ ἄνεμος εὐδιαιτέραν ποιεῖ τὴν θάλασσαν. < εὔδιος
8. Ὁ δὲ Εὖρος μέλας καὶ δυσμενής ἐστιν.
9. Τοῦτο γὰρ τὸ πνεῦμα καίει πᾶσαν τὴν γῆν.



VI. Prometheus stealing Fire.

1. Ὁ Προμηθεὺς υἱὸς ἦν Ἰαπετοῦ καὶ Κλυμένης.
2. Τέχνας πολλὰς καὶ θαυμασίας ἐξ-ευρεῖν λέγεται.
3. Πολλά τε ἄλλα ἐ-ποίησε καὶ τὸ πῦρ ἔ-δωκεν ἀνθρώποις.
4. Ἐπὶ τοῦτο ἀν-έ-βη ἐς Ὄλυμπον τὸν τῶν θεῶν οἶκον.
5. Ἐντεῦθεν πῦρ ἔ-κλεψεν.
6. Τοῦτο ἀπ-έ-κρυψεν ἐν νάρθηκι.
7. Οἱ δὲ θεοὶ τοῦτο μαθόντες χαλεπῶς ἔ-φερον.
8. Ἔ-δοξεν οὖν αὐτοῖς αὐτὸν τιμωρεῖσθαι.
9. Ὅθεν τοὺς ἀνθρώπους ὠφελήσας αὐτὸς ἄδικα ἔ-παθεν.

VII. Hoplite.

1. Οἱ δὲ Ἕλληνες κατά τε γῆν καὶ κατὰ θάλασσαν ἐ-μάχοντο.
2. Αἱ πόλεις ἀλλήλαις πολλάκις ἐπ-ε-στράτευον.
3. Οἱ Ἀθηναῖοι καὶ οἱ Λακεδαιμόνιοι κλεινότατοι ἦσαν τῶν Ἑλλήνων.
4. Ὁπλίτης πεζῇ ἐ-μάχετο.
5. Βαρέα ὅπλα ἔ-φερεν ἐν μάχῃ.
6. Ἦν αὐτῷ δόρυ καὶ μέγα ὅπλον.
7. Οἱ ψιλοὶ ξυν-ε-στρατεύοντο τοῖς ὁπλίταις.
8. Οὗτοι δὲ ὀλίγα ὅπλα ἔ-φερον.
9. Οἱ Λακεδαιμόνιοι τέλος ἐ-νίκησαν τοὺς Ἀθηναίους.



VIII. Artemis.


1. Ἡ Ἄρτεμις τοῦ Ἀπόλλωνος κασίγνητος ἦν.
2. Ὁ Σοφοκλῆς ὀνομάζει αὐτὴν τὴν κυναγόν.
3. Ἔ-φερε τόξον τε καὶ ὀϊστούς.
4. Ἔμπειρος ἦν τῆς τέχνης τοῦ τόξου.
5. Ἔ-κτεινε τοῖς βέλεσιν τοὺς θῆρας.
6. Ἐ-φίλει θηρεύειν τὰς ἐλάφους ἐν τοῖς ὄρεσιν.
7. Ταχίστη ἦν τοὺς πόδας καὶ ἰσχυροτάτη.
8. Οὐδεὶς οὔτε θεῶν οὔτε ἀνθρώπων ἔ-γημεν αὐτήν.
9. Τὸ ἱερὸν τὸ λαμπρότατον αὐτῆς ἐν Ἐφέσῳ ἕστηκεν.
10. Οἰνεύς ποτε ὁ τῆς Αἰτωλίας βασιλεὺς καθ-ύβρισε τὴν Ἀρτέμιδα.
11. Ἡ δὲ θεὸς ἐ-ζημίωσεν αὐτὸν ἀντὶ τῆς ὕβρεως.
12. Ἔ-πεμψε γὰρ κάπρον τινὰ ὡς τὴν γῆν δια-φθεροῦντα.
13. Τότε δὴ ὁ Μελέαγρος, ὁ τοῦ βασιλέως, ξυλ-λέξας πολλοὺς φίλους αὐτὸς ἀπ-έ-κτεινε τὸν θῆρα τῷ δόρατι.
14. Καὶ τὴν μὲν κεφαλὴν ἀπο-κόψας ἔ-δωκεν Ἀταλάντῃ.
15. Τὸ δὲ δέρμα καθ-ιέρωσε τῇ Ἀθήνῃ.
16. Τοῦτο ἐ-ποίησε διὰ τὸ τὴν θεὸν βε-βοηθηκέναι, ἀεὶ γὰρ ἐ-φίλει τὸν Μελέαγρον.
17. Ὁ δὲ οὐ πολὺ ὕστερον ἀπ-έ-θανεν.
18. Οὕτω δὲ ἡ Ἄρτεμις τιμωρίαν ἔ-λαβεν.



[*Anderson*

ARTEMIS

(Vatican Museum)



IX. Athletes.


1. Ἡ Ἑλλὰς ἀξιολόγους ἄνδρας ἔ-τρεφεν.
2. Οἱ μὲν τέχναις, οἱ δὲ καὶ ἀγῶσιν ἦσαν ἀξιόχρεῳ.
3. Ἐ-γύμναζον τὸ σῶμα καὶ πολλοὺς ἀγῶνας ἦγον.
4. Ἐν δὲ τούτοις ὁ Ὀλυμπιακὸς εὐδοξότατος ἦν.
5. Πολλοὶ μὲν σφόδρα ἔμπειροι ἦσαν τοῦ τὸν δίσκον βάλλειν.
6. Πολλοὶ δὲ δρόμῳ ἠγωνίζοντο.
7. Τὸ νικητήριον στέφανος ἦν κοτίνου.
8. Τοῦτο δὴ πᾶσιν ἐ-δόκει ἄριστον ἆθλον.
9. Πολλὰ ἐ-ποίησεν ὁ Πίνδαρος περὶ ἄθλων.

X. Darius.

1. Ὁ Δαρεῖος τῶν Περσῶν βασιλεὺς ἦν.
2. Σοφώτερος ἦν τῶν πρόσθεν ἀρχόντων.
3. Φόρον τοῖς ὑπη-κόοις ἐ-τασσεν.
4. Οἱ μὲν Κιλίκιοι ἔ-φερον φόρον λευκῶν ἵππων.
5. Ἀπὸ δὲ τῶν Ἰνδῶν πλεῖστος προσ-ῄει φόρος.
6. Τὸν στρατόν ποτε ἐπὶ τοὺς Ἕλληνας ἔ-πεμψεν.
7. Οἱ δὲ Ἀθηναῖοι ἐ-νίκησαν τοὺς Πέρσας Μαραθῶνι.




8. Οἱ μὲν Πέρσαι πλείους ἦσαν τῶν Ἀθηναίων.
9. Οἱ δὲ Ἀθηναῖοι ἀνδρειότεροι ἦσαν τῶν Περσῶν.



XI. Chariot-races.

1. Ἐν πᾶσι τοῖς ἀγῶσιν ἐ-γίγνοντο δρόμοι ἁρμάτων.
2. Ταχεῖς ἵπποι εἷλκον τὰ ἅρματα.
3. Τῶν δὲ ἁρμάτων τὰ μὲν δύο τὰ δὲ τέσσαρας ἵππους εἶχεν.
4. Οἱ νικήσαντες ἀεὶ κλεινότατοι ἐ-γίγνοντο.
5. Τό τε ἆθλον ἦν στέφανος μόνον κοτίνου.
6. Τὸ δὲ ἀθάνατον κλέος ἥδιστον ἆθλον ἐ-νομίζετο.
7. Οὐδὲν γὰρ ἦν μεῖζον κλέος ἐν τοῖς Ἕλλησιν.
8. Τὸν ἡνίοχον ἔ-δει φρονιμώτατον εἶναι.
9. Οἱ πίονες τῶν ἵππων οὔποτε ἐ-νίκων τὸν ἀγῶνα.




XII. Chariot of the Sun.

1. Ὁ μὲν Ἥλιος θεὸς ἦν ἐν τοῖς παλαιοῖς.
2. Ὁ δὲ Ἀπόλλων ἐπ-ε-στάτει τῇ τε μαντείᾳ καὶ τῇ μουσικῇ.
3. Καὶ ἐν τοῖς Ὁμήρου ἔπεσιν ἕτεροι νομίζονται οὗτοι οἱ θεοί.
4. Ὕστερον δὲ ὁ Ἀπόλλων καὶ τοῦ ἡλίου θεὸς ἐ-νομίζετο.
5. Ἐν ἅρματι ἐ-φέρετο διὰ τοῦ οὐρανοῦ.
6. Τέσσαρες δὲ ἵπποι ἐ-ζεύχθησαν τῷ ἅρματι.
7. Φαέθων ποτέ, υἱὸς Ἡλίου, τὸ τοῦ πατρὸς ἅρμα ἤλαυνεν.
8. Ἀλλ' οἱ ἵπποι ἀπὸ τοῦ δρόμου ἀπο-δραμόντες τὴν γῆν μόνον οὐ ξυν-έ-καυσαν.
9. Ὁ δὲ Ζεὺς ὀργισθεὶς ἀπ-έ-κτεινε Φαέθοντα κεραυνῷ.

XIII. Dirce and the Bull.

1. Ὁ Λύκος βασιλεὺς ἦν ποτε τῶν Θηβῶν τῶν ἐν Βοιωτίᾳ.
2. Ἡ δὲ Ἀντιόπη πρότερον ἦν γυνὴ τοῦ Λύκου.
3. Ἔπειτα δὲ ἐκεῖνος ἀπο-πέμψας τὴν Ἀντιόπην Δίρκην ἔ-γημεν.
4. Ἀμφίων τε καὶ Ζῆθος υἱεῖς ἦσαν τῆς Ἀντιόπης.
5. Ἐ-τράφησαν μέχρι ἥβης ἐν Κιθαιρῶνι.
6. Μαθόντες δὲ ὅθεν πε-φύκασιν ἐ-βουλεύσαντο τῇ μητρὶ τιμωρεῖν.
7. Ἐ-πορεύθησαν οὖν ὡς τάχιστα ἐς τὰς Θήβας.
8. Προσβολὴν δὲ ποιησάμενοι κατ-έ-λαβον τὴν πόλιν.
9. Ἔ-δοξεν οὖν αὐτοῖς τὴν Δίρκην τιμωρεῖσθαι.
10. Ἐπὶ τοῦτο δὴ ταύρου βίᾳ ἐ-κράτησαν.
11. Ὁ ταῦρος μέγας ἦν καὶ δεινός.
12. Τούτῳ τὴν Δίρκην προσ-ῆψαν σπάρτῳ.
13. Αὐτὴν δὲ πολλὰ πάσχουσαν ὁ ταῦρος παρ-είλκυσεν.
14. Ἄλλους οὖν ἀδικήσασα αὐτὴ οὕτως ἀπ-ώλετο.
15. Οἱ δὲ νεανίαι τὸ σῶμα ἐς κρήνην κατ-έ-βαλον.
16. Ὅθεν ἡ κρήνη Διρκαία ἐπ-ωνομάσθη.



[*Brogi*

DEATH OF DIRCE

(Naples Museum)



[*Brogi*

NIOBE
(Uffizi Gallery)

XIV. Niobe.

1. Ἀπο-κτείνας δὲ τὸν Λύκον ὁ Ἀμφίων βασιλεὺς ἐ-γένετο τῶν Θηβῶν.
2. Ὁ Ἑρμῆς λύραν ἀπ-έ-δωκε τῷ Ἀμφίονι.
3. Ταύτην ἔχων θαυμάσιόν τι ποιῆσαι λέγεται.
4. Οἱ γὰρ τοῦ τείχους λίθοι αὐτοὶ ἕκαστος ἐς τὸν καθ-ήκοντα τόπον ἐ-κινήθησαν.
5. Ἔ-γημεν ὁ Ἀμφίων Νιόβην τὴν τοῦ Ταντάλου θυγατέρα.
6. Πολλοὺς μὲν ἔ-σχον υἱεῖς καὶ θυγατέρας.
7. Ἐπὶ τούτοις λίαν ἐ-σεμνύνετο ἡ Νιόβη.
8. Τῇ δὲ Λητοῖ δύο μόνον ἦν τέκνα.
9. Ἡ Λητὼ μήτηρ ἦν τοῦ Ἀπόλλωνος καὶ τῆς Ἀρτέμιδος.
10. Οὗτοι δὲ θεοὶ ἦσαν ἀμφότεροι.
11. Ἡ δὲ Νιόβη ἔ-λεξε μεγαλαυχουμένη ὅτι τὰ ἑαυτῆς τέκνα καλλίω ἐστὶν ἢ τὰ ἐκείνης.
12. Ἡ Λητὼ οὖν ἀπ-έ-πεμψεν ἐς Θήβας τὸν Ἀπόλλωνα καὶ τὴν Ἄρτεμιδα.
13. Οἱ δὲ ἀφικόμενοι ἀπ-έ-κτειναν πάντα τὰ τῆς Νιόβης τέκνα.
14. Ὁ δὲ Ζεὺς τὴν Νιόβην ἐς πέτραν μετ-έ-βαλεν.
15. Πηγαὶ δὲ ἀεὶ ἐξ αὐτῆς ἀπο-ρ-ρέουσι τοῦ θέρους.
16. Ὁ δὲ Ἀμφίων αὐτὸς ὑφ' αὑτοῦ ἀπ-έ-θανεν.




XV. Garments.

1. Οἱ δὲ Ῥωμαῖοι καὶ οἱ Ἕλληνες ἐ-φόρουν ἐσθῆτα καλήν.
2. Ἑτέρα ἦν ἡ τῶν τότε καὶ τῶν νῦν ἐσθής.
3. Οἱ ὑποκριταὶ πολλάκις εἶχον τὸν χιτῶνα.
4. Ὑπὲρ τούτου ἦν ἡ χλαμὺς ἢ τὸ ἱμάτιον.
5. Τούτων δὴ λαμπρὸν ἦν τὸ εἶδος.
6. Πολὺ δὲ διαφέρει ταῦτα τῇ μορφῇ.
7. Αἱ γυναῖκες ἐν-ε-δύοντο ἐνίοτε τὸ σύρμα.
8. Οἵ τε στρατηγοὶ καὶ οἱ ἔφηβοι τὴν χλαμύδα ἐ-φόρουν.
9. Τί δῆτα χαριέστερόν ἐστι τῆς τῶν τότε Ἑλλήνων ἐσθῆτος;




XVI. Delphi.

1. Νεώς τις τοῦ Ἀπόλλωνος ἐ-τέθη ἐν Δελφοῖς.
2. Ἐκεῖ ἦν μαντεῖον τὸ εὐκλεέστατον πάντων.
3. Δυνατοὶ βασιλεῖς ἔ-πεμπον πιστοὺς ἀγγέλους ἐπὶ τὸ μαντεῖον.
4. Οὗτοί τε οἱ ἄγγελοι ἑκάστοτε προσ-έ-φερον τῷ θεῷ μεγάλα καὶ πολυτελῆ δῶρα.
5. Τὸ ἱερὸν οὖν ἐ-γένετο πλουσιώτατον.
6. Ὁ χρυσὸς ἐ-σῴζετο ἐν θησαυροῖς, οἳ ἦσαν τρεῖς καὶ δέκα.
7. Ἡ ἱέρεια ἐ-κάθιζε ἐπὶ τρίποδα χαλκοῦν.
8. Πνεῦμά τι θερμὸν διὰ χάσμα τῆς γῆς ἀνα-φερόμενον ἐπ-ῆρε τὴν ἱέρειαν.
9. Ὅδε ὁ τρίπους ἐν Βυζαντίῳ ἔτι ἕστηκεν.




XVII. Theatre of Dionysus.

1. Ἐν Ἀθήναις ἵσταται τὸ μέγα θέατρον τὸ τοῦ Διονύσου.
2. Τὸ κοῖλον ἐ-τμήθη ἐκ τοῦ τῆς Ἀκροπόλεως πέτρου.
3. Αἱ κερκίδες ἐ-σχίσθησαν πλατείαις κλίμαξι.
4. Αἱ ἕδραι λίθιναί εἰσιν.
5. Οἱ δὲ ἱερεῖς καὶ οἱ στρατηγοὶ ἐ-κάθιζον ἐπὶ μαρμαρίνους θρόνους.
6. Οἵδε οἱ θρόνοι πρὸ τῶν ἄλλων ἐ-τέθησαν.
7. Ὁ Εὐριπίδης ἐκεῖ ἐ-δίδασκε τὰς ἐνδόξους τραγῳδίας.
8. Οἱ ὑποκριταὶ ἔ-φερον πρόσωπα.
9. Ὁ τοῦ θεοῦ βωμὸς ἕστη ἐν μέσῃ τῇ ὀρχήστρᾳ.



XVIII. Musical Instruments.

1. Οἱ παλαιοὶ ἔμπειροι ἦσαν τῆς μουσικῆς.
2. Τῇ φόρμιγγι[a] ἐ-χρῶντο καὶ τῇ λύρᾳ[b] καὶ τῇ κιθάρᾳ[c].
3. Ὁ μὲν Ἑρμῆς, ὡς λέγουσιν, ἐξ-εῦρε τὴν κιθάραν, ὁ δὲ Ἀπόλλων τὴν λύραν.
4. Τοῖς χοροῖς παρ-ῆν αὐλητής, αὐλὸν[d] ἔχων.
5. Οἱ δὲ αὐλοὶ οἱ μὲν ἦσαν ξύλινοι, οἱ δὲ καὶ ὀστέϊνοι.
6. Ἡ μὲν λύρα χορδὰς ἔχει, ὁ δὲ αὐλὸς οὔκ.
7. Φυσᾶται οὖν ὁ αὐλός, ψάλλεται δὲ ἡ λύρα.
8. Ὁ ἄρχων ὁ χορὸν διδοὺς αὐλητὴν ἀπ-έ-νεμε τῷ χορηγῷ.
9. Ὁ χορηγὸς μισθὸν ἐ-δίδου τῷ αὐλητῇ.



XIX. Ships.

1. Αἱ νῆες πολλοὺς ἔ-φερον ἐρέτας τε καὶ ναυβάτας.
2. Οἱ ἐρέται ἕκαστος ἤλασαν τὴν ναῦν κώπαις.
3. Ἡ τῆς νεὼς πρῷρα ὑψηλὴ ἦν.
4. Πρότονοι ἐ-στήριξαν τὸν ἱστόν.
5. Οἱ ναῦται ἦραν τὸν ἱστόν.
6. Τὸ πνεῦμα ἐν-έ-πλησε τὰ ἱστία.
7. Οἱ Κορίνθιοι πρῶτοι τριήρεις ἐ-ναυπήγησαν.
8. Τῶν Ἑλλήνων οἱ μὲν ἱστίοις οἱ δὲ κώπαις ἐ-χρῶντο.
9. Ὁ ἔμβολος ἔ-ρ-ρηξε τὰς τῶν πολεμίων ναῦς.

XX. Paris.

1. Ὁ Πάρις ἦν τοῦ Πριάμου τοῦ τῆς Τροίας βασιλέως υἱός.
2. Ἐλθὼν ποτε ἐπὶ Λακεδαίμονα εἶδεν ἐκεῖ τὴν Ἑλένην τὴν τοῦ βασιλέως Μενέλεω γυναῖκα.
3. Τοῦ δὲ Μενέλεω ἀπ-ελθόντος ἐς Κρήτην ὁ Πάρις ἀπ-ε-κόμισε τὴν Ἑλένην.
4. Τούτων δὲ γενομένων οἱ Ἕλληνες μάλιστα ἠγανάκτησαν.
5. Καὶ ξυλ-λέξαντες μεγάλην τινὰ στρατιὰν ἐπ-ῆλθον τοῖς Τρῶσιν.
6. Πρῶτον μὲν οὐκ ἐ-δύναντο τὴν πόλιν κατα-λαβεῖν.
7. Αὐτὴν δὲ δέκα ἔτη πολιορκήσαντες τέλος κατ-έ-λαβον.
8. Καὶ Πάρις ὀϊστῷ τραυματισθεὶς ἀπ-έ-θανεν.

PART II



I. Orpheus.

Ὀρφεὺς πολὺ ἐ-τιμήθη ἐν τοῖς πάλαι· λύραν χρυσῆν εἶχε δῶρον Ἀπόλλωνος· αἱ δὲ Μοῦσαι αὐτὸν ἐ-δίδαξαν τὴν λύραν ψάλλειν, καὶ οὐ διὰ μακροῦ ἐμπειρότατος ἐ-γένετο τῆς τέχνης, καὶ ἐς τοσοῦτον ἧκεν ἐπιστήμης ὥστε θέλγειν οὐ μόνον τὰ ζῷα ἀλλὰ καὶ τὰ δένδρα τῇ μουσικῇ. οἱ δὲ θῆρες, ὡς λέγουσιν, ἀκούσαντες τὸ μέλος τῷ Ὀρφεῖ ἠκολούθουν.

Ἐκεῖνος δὲ ξυν-έσπετο τῷ Ἰάσονι καὶ τοῖς Ἀργοναύταις, ἐπεὶ δὲ ἐκεῖνοι εὐτυχήσαντες ἐφ' ἃ ἐ-στρατεύοντο καὶ φέροντες τὸν χρυσοῦν πόκον κατ-ῆλθον, Ὀρφεὺς ἐν τῇ Θρᾴκῃ κατ-ῴκησεν. ἔ-γημεν ἐκεῖ νύμφην τινὰ ὀνόματι Εὐρυδίκην· ἀλλ' ἡ μὲν γυνὴ ὑπ' ὄφεως δηχθεῖσα ἀπ-έ-θανεν, τῷ δὲ Ὀρφεῖ ἔ-δοξε βαρέως τοῦτο φέροντι ἐς Ἅιδου μετ' αὐτὴν κατ-ιέναι. πολλὰ δὲ καὶ ἡδέα φωνήσας μόλις ἔ-πεισε Πλούτωνα τὸν τῶν κάτω βασιλέα τὴν Εὐρυδίκην ἀπο-λύειν. ὁ δὲ τοῦτο ὑπ-έσχετο ποιήσειν ἐφ' ᾧτε τὸν Ὀρφέα μὴ περι-στρέψεσθαι πρὸς τὴν γυναῖκα πρὶν ἐς τὴν γῆν ἐξ Ἅιδου ἀν-έλθῃ. ὁ δὲ Ὀρφεὺς ἤδη ἐν τῇ ὁδῷ περι-ε-στρέψατο, ἡ δὲ γυνὴ αὐτίκα ἠφανίσθη.



ORPHEUS AND EURYDICE
BY G. F. WATTS, R.A.
(From a photograph by T. & R. Annan & Sons)



[By permission of Messrs. Goupil & Co.

LEONIDAS
(From the painting by David)

II. Leonidas.

Λεωνίδας, ὁ τῶν Λακεδαιμονίων βασιλεύς, ἀνδρειότατος ἦν πάντων τῶν τότε ἀνθρώπων. ἀπ-έθανε γὰρ μαχόμενος πρὸς τοὺς Πέρσας ἐν ταῖς Θερμοπύλαις, αὐτὸς μὲν ἔχων τριακοσίους μόνον ὁπλίτας, τῶν δὲ πολεμίων οὐκ ἐλάσσους ἢ ἑκατὸν μυριάδας ἐχόντων. ἀλλ' ὅμως οὐκ ἐ-φοβήθη, παρ-ε-κέλευσε δὲ τοὺς στρατιώτας μὴ ἀθυμεῖν ἀλλ' ἀνδρείως μάχεσθαι ὡς ὑπὲρ πατρίδος καὶ γυναικῶν καὶ τέκνων. τούτῳ δὲ τῷ Λεωνίδᾳ στρατιᾶς ποτὲ τινὸς Λακεδαιμονίων ἡγουμένῳ ἔ-φη τις, ἰδού, ὦ στρατηγέ, οἱ πολέμιοι πλησίον ἡμῶν εἰσίν· ἐκεῖνος δὲ οὐδὲν ταραχθείς, μᾶλλον δὲ ἡσθείς, ἀντ-εῖπεν, καὶ ἡμεῖς τῶν πολεμίων.

III. Cleobis and Biton.


Σόλων, ὁ τῶν Ἀθηναίων νομοθέτης, ἐ-νόμιζε Κλέοβιν καὶ Βίτωνα ὀλβιωτάτους εἶναι πάντων ἀνθρώπων· οὐ μόνον γὰρ ζῶντας, ἀλλὰ καὶ ἀποθνήσκοντας πάνυ ὀλβίους γεγονέναι. περὶ δὲ τούτων τῶν νεανιῶν τοιάδε ἐ-λέγετο. ἡ μήτηρ αὐτῶν ἱέρεια ἦν τοῦ τῆς Ἥρας ἱεροῦ τοῦ ἐν Ἄργει· καὶ ἐν τῇ ἑορτῇ τῆς Ἥρας ἔ-δει αὐτὴν ἐλαύνεσθαι ἐς τὸ ἱερὸν ἐν τῇ ἱερᾷ ἁμάξῃ. ξυν-έ-βη δέ

ποτε τοὺς βοῦς μὴ ἐς καιρὸν ἐκ τοῦ ἀγροῦ παραγενέσθαι. τότε δὴ οἱ νεανίαι, φοβούμενοι μὴ ἡ μήτηρ ἀδύνατος ᾖ μετ-έχειν τῆς ἑορτῆς, ὑποδυσάμενοι τὸ ζυγὸν εἵλκυσαν τὴν ἅμαξαν πέντε καὶ τεσσαράκοντα σταδίους πρὸς τὸ τῆς θεοῦ ἱερόν.

Ἡ δὲ μήτηρ, περιχαρὴς οὖσα τῷ ἔργῳ, ηὔξατο τὴν Ἥραν δοῦναι τοῖς τέκνοις, τοῖς οὕτως αὐτὴν τιμήσασι, τοιοῦτο δῶρον οἷον ἄριστον τοῖς ἀνθρώποις εἶναι δοκεῖ. μετὰ δὲ ταύτην τὴν εὐχήν, πάντες ἔ-θυσαν καὶ ἐ-δείπνησαν κατὰ νόμον. ὕστερον δὲ οἱ νεανίαι ἐν αὐτῷ τῷ ἱερῷ κατ-ε-κοιμήθησαν· ἀλλ' οὔποτε ἀν-έ-στησαν, ὑπνοῦντες γὰρ ἐ-τελεύτησαν· τοῦτο οὖν τὸ δῶρον, τὸ ἡσύχως θανεῖν, ἔ-δωκεν ἡ θεός, ὡς ὂν πάντων ἄριστον. ταῦτα οὖν ἔ-λεξεν ὁ Σόλων τῷ Κροίσῳ ἐρωτῶντι τίς πάντων ἀνθρώπων ὀλβιώτατος εἶναι δοκεῖ. ὁ γὰρ Κροῖσος, πλουσιώτατος ὤν, ἤλπιζεν αὐτὸς ὀνομασθήσεσθαι.

IV. Ajax defends the Greek Ships.

Ὁ δὲ Ἕκτωρ καὶ οἱ ἄριστοι τῶν Τρώων ἐ-βούλοντο νικήσαντες τοὺς Δαναοὺς κατα-λύεσθαι τὸν πόλεμον. ἐξ-ελθόντες οὖν ἐκ τῆς πόλεως ἐ-πορεύοντο ἐπὶ τῆς θαλάσσης, ἐν νῷ ἔχοντες προσβολὴν ποιεῖσθαι πρὸς τοὺς Δαναοὺς εἴ πως κατα λάβοιεν τὰς ναῦς.



Μάχη δὲ καρτερὰ ἐ-γένετο, καὶ πολλοὶ τῶν τε Τρώων καὶ τῶν Δαναῶν ἀπ-έ-θανον. ὁ μὲν οὖν Ἀγαμέμνων ἐ-βουλεύσατο καθ-ελκύσας τὰς ναῦς ἀν-άγεσθαι, οἱ δὲ ἄλλοι ἡγεμόνες οὐκ ἤθελον. τότε δὴ ὁ Αἴας ξυγ-καλέσας τοὺς ἀρίστους τῶν Ἑλλήνων ἀντ-εῖχε τοῖς πολεμίοις.

Βαλὼν δὲ τὸν Αἴαντα τῷ δόρατι ὁ Ἕκτωρ ἔ-πληξε μὲν αὐτόν, ἐ-τραυμάτισε δ' οὔκ· ὁ γὰρ ζωστὴρ ἤμυνε τὸ βέλος. λαβὼν οὖν μέγαν λίθον ὁ Αἴας ἔ-βαλε τὸν Ἕκτορα, πρὸς τοὺς ἑταίρους κατ-ιόντα, ἐπὶ τοῦ αὐχένος, καὶ ὁ μὲν πεπληγμένος κατ-έ-πεσεν, οἱ δὲ Δαναοὶ σπεύδοντες αὐτὸν κατα-λαβεῖν οὐκ ἐ-δυνήθησαν· οἱ γὰρ σύμμαχοι προ-ίσταντο φυλάσσοντες αὐτὸν ταῖς ἀσπίσιν, ἔπειτα δὲ ἐξ-ήνεγκαν ἐκ τῆς μάχης.

Ἀπόλλων δὲ ὁ θεὸς μαθὼν τὰ γενόμενα ἰάσατο

τὸ τραῦμα, καὶ οὐ διὰ μακροῦ ὁ Ἕκτωρ αὖθις κατ-ῆλθεν ἐς τὴν μάχην. οἱ δὲ πολέμιοι ἰδόντες ἐ-θαύμαζον· ἐ-νόμιζον γὰρ αὐτὸν ἤδη τεθνηκέναι. μετὰ ταῦτα ἀμφότεροι αὖθις ξυν-ε-μίγησαν, καὶ πολλὰ ἔ-δρασάν τε καὶ ἔ-παθον, πολλοὶ δὲ ἀπ-ώλοντο. ὁ δὲ Ἕκτωρ ἀψάμενος τῆς τοῦ Πρωτεσιλάου νεὼς ἐπι-βαίνειν ἐ-πειράσατο, οἱ δὲ Δαναοὶ ἀνδρείως ἀντ-έ-στησαν. νυκτὸς δ' ἐπι-γενομένης, ἐπεὶ ὁ ἀγὼν ἔτι ἰσόρροπος ἦν, οἱ Τρῶες ἐς τὴν πόλιν ἀν-ε-χώρησαν.

V. Alcestis.

Ὁ δὲ Ἄδμητος βασιλεὺς ἦν τῶν Φεραίων. ὠφελήσας δέ ποτε τὸν Ἀπόλλωνα ἀπ' αὐτοῦ ἀντ-έ-τυχε θανάτου ἀπαλλαγὴν εἴ τινα ἐξ-ευρεῖν δύναιτο ἐθέλοντα ὑπερ-θανεῖν· ἀλλ' ἡ Ἄλκηστις ἡ γυνὴ αὐτοῦ μόνη ἤθελε τοῦτο παθεῖν.

Ἀφικόμενος οὖν ἐκεῖσε ὁ Ἡρακλῆς ἐπ-έ-τυχε τῷ Ἀδμήτῳ δεινὰ πάσχοντι· μαθὼν δὲ τὰ γενόμενα βουλεύεται λανθάνειν αὐτὸν σώζων τὴν γυναῖκα.


Κατα-βὰς δ' οὖν ἐς Ἅιδου καὶ πρὸς Θάνατον ἁμιλλησάμενος αὖθις ἀν-άγει τὴν Ἄλκηστιν ἐπὶ τὴν γῆν. ἀλλ' οὐ πρῶτον ἐκ-φαίνει ἥτις ἐστίν, ἀγαγὼν δὲ αὐτὴν πρὸς τὸν βασιλέα ἀμφι-κεκαλυμ-



HERCULES WRESTLING WITH DEATH FOR THE BODY OF ALCESTIS

(From the painting by Lord Leighton)

By permission of the Fine Art Society, Limited



GENERAL VIEW OF OLYMPIA

μένην ἐρωτᾷ τὸν Ἄδμητον θεραπεύειν γυναῖκά τινα αἰχμαλώτιδα. ἐκεῖνος δὲ πρῶτον μὲν οὐκ ἐθέλει, τέλος δὲ ἀνα-πείθεται· ἡ δὲ Ἄλκηστις τότε προ-ελθοῦσα φανερά ἐστιν οὖσα Ἀδμήτου γυνή.

VI. The Olympic Games.

Ἐν Ἤλιδί ἐστι πόλις τις Ὀλυμπία, ἐν ᾗ διὰ πέμπτου ἔτους ἀγῶνες ἐ-γίγνοντο. καὶ τούσδε τοὺς ἀγῶνας, ὥς φασιν, ὁ Ἡρακλῆς ἔ-θηκεν, τοὺς ἑαυτοῦ ἀδελφοὺς ἐν ἁμίλλῃ δρόμου νικήσας. ἀφ-ικόμενος γάρ ποτε ἐξ Ἴδης τῆς Κρητικῆς μετ᾽ αὐτῶν ἔ-φη αὐτὸς τὸν νικήσαντα κλάδῳ κοτίνου στεφανώσειν· καὶ οὐδὲν ἄλλο ἆθλον ἔ-κειτο ἐν τοῖς ἀγῶσιν, ἀλλὰ στέφανος μόνον κοτίνου. κομισθῆναι δὲ ἐκ τῆς τῶν Ὑπερβορέων γῆς τὸν κότινόν φασιν ὑπὸ τοῦ Ἡρακλέους ἐς τὴν Ἑλλάδα· οἱ δὲ Ὑπερβόρεοι οἰκοῦσιν ὑπὲρ τὸν ἄνεμον τὸν Βορέαν.

Τούτων οὖν τῶν ἀγώνων πρῶτος ἦν ὁ δρόμος. τούτῳ δὲ ὕστερον προσ-έ-κειντο ἥ τε πυγμὴ καὶ ἡ πάλη καὶ τὸ πήδημα. πάντες δὲ οἱ ἀγῶνες ἐν τῷ σταδίῳ ἐ-γίγνοντο καὶ πολλαὶ μυριάδες ἀνδρῶν ξυν-ε-λέγοντο πρὸς τὸ θέαμα. ἔπειτα δὲ ἔ-θηκέ τις δρόμον ἁρμάτων καὶ ὁ ἐν τούτῳ τῷ ἄθλῳ νικήσας ἐν πολλῇ τιμῇ εἴχετο. λέγεται δὲ Ἀλκιβιάδης πρᾶξαι πρᾶγμά τι τοιοῦτον οἷον οὐδεὶς ἄλλος, ἀλλ᾽ ἐκεῖνος μόνος. πλουσιώτατος γὰρ

ὢν καὶ πολλοὺς καὶ καλοὺς ἵππους ἔχων ἔ-πεμψεν οὐκ ἐλάσσω ἑπτὰ ἁρμάτων πρὸς τὰ Ὀλύμπια καὶ τό τε πρῶτον καὶ τὸ δεύτερον καὶ τὸ τέταρτον ἆθλον ἐ-φέρετο.

Ὅστις δὲ ἔ-μελλεν ἐν τῷ δρόμῳ ἢ τῷ πηδήματι ἢ τῇ πάλῃ ἀγωνιοῦσθαι, ἔ-δει ἐκεῖνον, δέκα μῆνας ἐν Ὀλυμπίᾳ ζῶντα, μανθάνειν καὶ ἀσκεῖν τοὺς ἄθλους καὶ ἰσχυρὸν τὸ σῶμα ποιεῖν. ἐπὶ τοῦτο οὖν μέγα γυμνάσιον καὶ παλαίστραν ἔ-θηκαν, ἅ τις ἂν δύναιτο ἔτι ἰδεῖν ἐν Ὀλυμπίᾳ οὐ πολὺ ἀπ-έχοντα τοῦ σταδίου. καὶ ἐν τῷ Διὸς ἱερῷ τῷ ἐν ἄλσει πλατάνων ᾠκοδομημένῳ οἱ νικήσαντες εἰκόνας ἀν-έ-θηκαν τῷ θεῷ· τό τε τοῦ Διὸς ἄγαλμα ὃ Φειδίας ἐ-ποίησε χρυσοῦν καὶ ἐλεφάντινον ἦν, καὶ πεντήκοντα ποδῶν τὸ ὕψος. τοῦτο δὲ τὸ ἄγαλμα ὕστερον ἐς Βυζάντιον ἐ-κομίσθη.

VII. Hector and Andromache

Μακρὸν δὴ χρόνον οἱ Δαναοὶ ἐ-πολιόρκουν τὴν τῶν Τρώων πόλιν· τούτου δὲ τοῦ πολέμου Πάρις ἀφ-ελὼν Ἑλένην τὴν τοῦ Μενέλεω γυναῖκα αἴτιος ἦν, Ἕκτωρ δὲ ἀδελφὸς ἦν τοῦ Πάριδος. ἀνα-χωρήσας δέ ποτε ἐκ τῆς μάχης προσ-ῆλθε πρὸς τὸν ἀδελφόν· ἐ-βούλετο γὰρ πείθειν αὐτὸν μάχε-σθαι ἐπὶ τοὺς πολεμίους. ὁ δὲ τοὺς λόγους ἀκού-σας ἀντ-εῖπεν· εὖ λέγεις, ἔφη, ὦ ἀδελφέ, καὶ



ἀκολουθήσω σοι, οὐδὲ ὀργὴν ἐν καρδίᾳ ἔχων ἐνταῦθα οὕτω δια-μενῶ, οὐ μετ-έχων τῆς μάχης.

Τότε δὴ ὁ Ἕκτωρ οἴκαδε ἀπ-ῆλθεν, ζητῶν Ἀνδρομάχην τὴν γυναῖκα· καὶ αὐτὴν ἐπὶ τοῖς τῆς πόλεως τείχεσι κατ-έλαβε καὶ τὴν τροφὸν τὸν παῖδα ἔχουσαν· κατ-ιδοῦσα δὲ τὸν ἄνδρα ἀπ-ῄτησεν μὴ αὖθις ἐπὶ τοὺς πολεμίους ἐξ-ιέναι· ἐφοβεῖτο γὰρ μὴ ἀπο-θάνοι. ὁ δὲ Ἕκτωρ δεινὸν νομίζων εἰ, σωτηρίαν ζητῶν ἐν τῇ πόλει, ἀπο-στήσεται ἀπὸ τοῦ πολέμου, οὐκ ἐθέλει.

Λαβὼν δὲ τὸν παῖδα καὶ φιλήσας ἐπ-ηύχετο τοῖς θεοῖς παρ-έχειν τὸ τέκνον εὐκλεέστερον τοῦ πατρός· ἀπο-δοὺς δὲ τῇ μητρὶ καὶ χαίρειν κε-λεύσας αὐτὸς μὲν ἀπ-ῆλθεν, ἡ δὲ Ἀνδρομάχη ἔ-κλαυσεν.


VIII. Socrates.

Ἦν ποτε ἐν τοῖς Ἀθηναίοις ἀνὴρ ὀνόματι Σωκράτης, εὐπρεπὴς μὲν οὐκ ὤν, δεινὸς δὲ λέγειν, ὥς γε οἱ ξυμπολῖται ἔ-λεγον· πολλοὺς μὲν οὖν εἶχε φίλους πολλοὺς δὲ καὶ ἐχθρούς.

Τῷ δὲ Χαιρεφῶντι ἐρωτῶντι ὅστις ἐστὶ σοφώτατος ἀνθρώπων ἀντ-εῖπεν ὁ θεὸς ὁ ἐν Δελφοῖς ὅτι οὐδεὶς σοφώτερός ἐστι τοῦ Σωκράτους· οὗτος οὖν ταῦτα ἀκούσας ἐν νῷ εἶχε πᾶσι δια-λέγεσθαι ὡς ἐλέγξων τὸ μαντεῖον καὶ ἀπο-φανῶν ὅτι ἄλλοι σοφώτεροί εἰσιν· πολλάκις δὲ ἄλλως πειρασάμενος πρὸς αὑτὸν οὕτως ἐ-λογίζετο, ὅτι διὰ τόδε σοφώτερος ἄλλων ἐστίν, ἐκεῖνοι γὰρ οἴονταί τι εἰδέναι οὐκ εἰδότες, αὐτὸς δὲ οὐκ οἶδεν οὐδ' οἴεται.

Ἀλλ' ἐκ ταύτης τῆς ἐξετάσεως πολλαί τε ἀπέχθειαι καὶ διαβολαὶ τῷ Σωκράτει ἐ-γένοντο. πρῶτον μὲν γὰρ Ἀριστοφάνης ὁ ποιητὴς αὐτοῦ κατ-ε-γέλα ἐν ταῖς κωμῳδίαις, ἔπειτα δέ τινες ἐ-γράψαντο αὐτόν, Μέλητός τε καὶ Ἄνυτος καὶ Λύκων, ὁ μὲν Μέλητος ἀχθόμενος ὑπὲρ τῶν ποιητῶν, οὕσπερ ὁ Σωκράτης ἀπ-έ-φηνε πάντα ἀγνοοῦντας, ὁ δὲ Ἄνυτος ὑπὲρ τῶν δημιουργῶν καὶ τῶν πολιτικῶν, ὁ δὲ Λύκων ὑπὲρ τῶν ῥητόρων.

Ἡ δὲ ἀντωμοσία ὧδε εἶχεν· Σωκράτης ἀδικεῖ τούς τε νέους διαφθείρων καὶ θεοὺς οὓς ἡ πόλις νομίζει οὐ νομίζων, ἕτερα δὲ δαιμόνια καινά.



SOCRATES
(From the bust in the Capitoline Museum)



PROMETHEUS

(From the statue in the Louvre)

Ἀλλ' ὁ Σωκράτης ἀπο-λογούμενος καίπερ ξυνετῶς τε καὶ καλῶς λέγων οὐκ ἔ-πεισε τοὺς δικαστάς, ὀφλὼν δὲ κατ-ε-κρίθη.

IX. Prometheus.

Ἐν τοῖς παλαιοῖς πολλὰ εἴρηται περὶ Προμηθέως, ἐν οἷς Αἰσχύλος ὁ ποιητὴς τοίαδε ἔ-λεξεν· Ζεὺς γάρ ποτε υἱὸς ὢν Κρόνου τῷ πατρὶ ἐπ-αν-έ-στη, νικήσας δὲ αὐτὸν ἐκ τοῦ οὐρανοῦ ἐξ-έ-βαλεν, ἀλλ' οὐδὲ τότε ἐ-δύνατο ἡσυχίαν ἄγειν· οἱ γὰρ Τιτᾶνες δέκα ἔτη ἐς χεῖρας ἦλθον αὐτῷ.

Τέλος δὲ ἐπι-κρατήσας πάντων τῶν πολεμίων βασιλεὺς ἐ-γένετο τῶν Ὀλυμπίων θεῶν. Προμηθεὺς δὲ Τιτὰν μὲν ὤν, προ-ειδὼς δὲ τὴν μάχην ἀμήχανον ἐσομένην, παρ-ῄνεσε τοὺς Τιτᾶνας ὑπ-είκειν, οἱ δὲ οὐ πειθόμενοι καὶ ἐξ οὐρανοῦ ἐξ-έ-πεσον.

Καὶ ὁ μὲν Ζεὺς τὸ κράτος ἔχων κακῶς ἐ-ποίει τοὺς ἀνθρώπους, ὁ δὲ Προμηθεὺς αὐτῷ ἀντ-ηγωνίζετο. διὰ δὲ ταῦτα ἔ-δοξε τῷ Διὶ ὀργισθέντι τιμωρεῖσθαι αὐτόν, ἐ-κέλευσε δὲ τοὺς ἀγγέλους λαβόντας τὸν Προμηθέα ἐς ὄρος τι ὑψηλόν τε καὶ ἔρημον ἀπ-άγειν. οἱ δὲ πέτρᾳ τινὶ ἐν τῷ Καυκάσῳ προσ-ηλώσαντες αὐτὸν δι-άγειν ἠνάγκασαν πολλῇ ἐν ταλαιπωρίᾳ.

Ὁ γὰρ Ζεὺς ἀετὸν ἔ-πεμψεν, ὅσπερ ἐλθὼν

καθ' ἑκάστην ἡμέραν ἐ-σπάρασσεν αὐτοῦ τὸ ἧπαρ, τὸ δὲ σπαρασσόμενον νυκτὸς ηὐξάνετο· ὁ δὲ Προμηθεὺς εὖ εἰδὼς ἄδικα πάσχων, καὶ ἐλπίζων ὠφελήσειν ποτὲ τοὺς ἀνθρώπους, πάντα ἐ-τόλμησεν οὐκ ἐθέλων τῷ θεῷ ὑπ-ακούειν.


X. Death of Hector.

Ἀχιλλεὺς μὲν ἄριστος ἦν τῶν Δαναῶν, τῶν δὲ Τρώων Ἕκτωρ. ἐκεῖνος μέντοι δι' ὀργῆς ἔχων τὸν Ἀγαμέμνονα μακρὸν χρόνον ἀφ-ίστατο ἀπὸ τοῦ πολέμου· τέλος δὲ ὑπὸ τῶν φίλων ἀνα-πεισθεὶς αὖθις μετ-έσχε τῆς τοῦ ἄστεως πολιορκίας.

Ἡμέρᾳ δέ τινι οἱ ἥρωες ἀμφοτέρωθεν ἐς χεῖρας ἦλθον ἔξω τῶν τειχῶν· πολλοὺς μὲν ἀπ-έ-κτεινεν ὁ Ἀχιλλεύς, πολλοὺς δὲ ὁ Ἕκτωρ· παρ-ῄνεσε δὲ τότε Ἀπόλλων, εὐμενὴς ὢν τοῖς Τρῶσι, ἀπο-χωρεῖν ἐς τὴν πόλιν, ὁ δὲ Ἕκτωρ μόνος αὐτῶν δι-έ-μεινεν ἐν τῷ πεδίῳ.

Τοῦτο δὲ ἰδὼν Πρίαμος, ὁ πατὴρ αὐτοῦ, καὶ ἡ μήτηρ Ἑκάβη πολλοῖς δάκρυσιν ἀπ-ῄτησαν τὸν υἱὸν μηκέτι ἐσ-ελθεῖν δια-μέλλειν, ὁ δὲ ἀπ-ε-κρίνατο, ὑμῖν γε βουλοίμην ἂν πείθεσθαι, ἀλλὰ σφόδρα ἐπι-θυμῶ τῷ Ἀχιλλεῖ μονο-μαχεῖν εἴ πως αὐτοῦ κρατήσω· καὶ ἀπο-φυγὼν ἐντὸς τῶν πυλῶν φοβοῦμαι τοὺς Τρῶας ὅ τι λέξουσιν.

Ἐν δὲ τούτῳ ὁ Ἀχιλλεὺς προσ-ήρχετο, ξυν-



85

ACHILLES SLAYING HECTOR

ἐ-βοήθει δὲ αὐτῷ Ἀθήνη ἡ θεός. καὶ πρῶτον μὲν ὁ Ἕκτωρ φοβούμενος ἀπ-έ-φευγε καὶ ἐκεῖνος ἐ-δίωκεν, ἔπειτα δὲ θεός τις ἐ-θάρσυνεν, καὶ περι-στραφεὶς παρ-ε-σκευάζετο ἐς μάχην· καὶ ὁ ἐχθρὸς προσ-έ-βαλεν πρὸς αὐτὸν τῷ δόρατι, ὁ δὲ ὑπο-κύψας περι-ε-γένετο. ἡ δὲ Ἀθήνη ἀπο-δοῦσα τὸ δόρυ τῷ Ἀχιλλεῖ τὸν Ἕκτορα ἔ-λαθεν. καὶ οὗτος λοιδορῶν τὸν ἐχθρὸν αὐτὸς ἧκε τὸ δόρυ οὐδ' ἥμαρτεν, ἡ δὲ ἀσπὶς ἡ τοῦ Ἀχιλλέως οὐχ ὑπ' ἀνθρώπων πεποιημένη ἀπ-ε-κώλυσε μὴ αὐτὸν τραυματισθῆναι. τότε δὴ ἠπόρει ὁ Ἕκτωρ καὶ ᾔσθετο ἀπ-ολούμενος. τὸ ξίφος μέντοι σπάσας ἐπ-ε-τίθετο τῷ Ἀχιλλεῖ, ἀλλὰ τῇ λόγχῃ πεπλη-γμένος ἀπ-έ-θανεν.

Ἡ δὲ Ἀνδρομάχη τὴν φήμην ἀκούει, ἐπι-βᾶσα δὲ ἐπὶ τὸ τεῖχος καὶ ἰδοῦσα τὸν νεκρὸν δεδε-μένον πρὸς τῷ τοῦ Ἀχιλλέως ἅρματι λιπο-ψυχεῖ.

XI. The Battle of Plataea.

Οἱ μὲν Ἀθηναῖοί ποτε ἔ-περσαν τὰς Σάρδεις, οἱ δὲ Πέρσαι βουλόμενοι αὐτοὺς τιμωρεῖσθαι ἐ-στρα-τεύσαντο ἐπὶ τὴν Ἑλλάδα. Δαρεῖος δὲ βασιλεὺς ἦν τῶν Περσῶν, μαχεσάμενος δὲ Μαραθῶνι πρὸς τοὺς Ἀθηναίους κακῶς ἔ-πραξεν. καὶ μετὰ δέκα ἔτη Ξέρξης ἤδη βασιλεὺς ὢν ἐν Θερμοπύλαις πολλὰς ἡμέρας ἐπ-έ-θετο τοῖς Ἕλλησι· τέλος

δὲ ἀφράκτους αὐτοὺς λαβόντες πάντας ἀπ-έ-κτειναν καὶ Λεωνίδαν τὸν ἡγεμόνα. ἀλλ' οὐ διὰ μακροῦ οἱ Πέρσαι Σαλαμῖνι ναυμαχήσαντες πρὸς τοὺς Ἕλληνας ἡσσήθησαν.

Ὁ δὲ Μαρδόνιος τὸν πεζὸν ἔχων ἐν-έ-τυχε τοῖς Ἀθηναίοις καὶ τοῖς Λακεδαιμονίοις καὶ τοῖς αὐτῶν ξυμμάχοις οὐ πολὺ ἀπ-έχουσι τῶν Πλαταιῶν. πολλὰς δὴ ἡμέρας οἱ στρατοὶ ἀντι-καθ-έζονται, οὐδὲ οὐδέτερος βούλεται προσ-βαλὼν φθάνειν· οὐ γὰρ δεξιὰ ἦν τὰ τῶν θυμάτων σημεῖα.

Καὶ ἐν τούτῳ τὸ μὲν τῶν Ἑλλήνων στράτευμα καθ' ἑκάστην ἡμέραν ηὐξάνετο καὶ ἐ-λάμβανε τὰ ἐπιτήδεια· οἱ δὲ Πέρσαι ταῦτα μαθόντες τὴν ἵππον ἀπο-πέμψαντες ἐ-κράτησαν τῶν ἐσόδων. ἐκείνοις οὖν ἔ-δοξεν ἀνα-χωρεῖν ἐπὶ τῶν Πλαταιῶν. τότε δὴ ὁ Μαρδόνιος γνώμην ἔσχεν αὐτίκα μάχεσθαι, οὐδὲ οὐκέτι χρονίζειν.

Δια-τάξας οὖν τὸν στρατὸν προσβολὴν ἐ-ποιεῖτο· καὶ τοῖς Λακεδαιμονίοις πρώτοις προσ-ε-μίχθη. καὶ ἐπειδὴ ἡ μάχη ἐς ἀντίπαλον κατ-έ-στη, ὁ Μαρδόνιος ἀνδρείως ἐφ' ἵππου πολεμῶν ἀπ-έ-θανεν, ὅπερ ἰδόντες οἱ ἄλλοι ἐς φυγὴν ἐ-τράπησαν. τῶν δὲ Ἀθηναίων ἤδη ξυμ-βοηθησάντων πάντες ἐ-δίωξαν τοὺς Πέρσας ἐς τὸ στρατόπεδον καὶ μακρὸν χρόνον πολιορκήσαντες τέλος αὐτοῦ ἐ-κράτησαν. τῶν δὲ ἔνδον πλείστους ἀπο-κτείναντες σκῦλα πολλά τε καὶ τίμια ἀν-ήρπασαν.

XII. Theseus.

Ὁ Θησεύς, παιδίον ἔτι ὤν, ᾤκησε Τροιζῆνα μετὰ τῆς μητρός. ἡ δὲ μήτηρ ἔ-πεμψεν αὐτὸν νεανίαν νῦν γενόμενον ἐς Ἀθήνας, ὧν Αἰγεὺς ὁ πατὴρ αὐτοῦ ἦρχεν. ἤλπιζε γάρ, Αἰγέως ἀποθανόντος, τὸν Θησέα βασιλέα γενήσεσθαι. ἐκ Τροιζῆνος οὖν ὥρμησεν ὅπλα ἔχων μόνον ξίφος ὀξὺ καὶ ἱμάτιον. ἡ δὲ ὁδὸς μακρὰ ἦν καὶ χαλεπωτάτη, ἄγουσα αὐτὸν δι' ὀρῶν ἀγρίων καὶ ὑψηλῶν μεταξὺ τοῖν δυοῖν θαλάσσαιν. καὶ οὐ κατὰ θάλασσαν ἀλλὰ κατὰ γῆν προ-ῆλθεν· μεγάλοι γὰρ πόνοι αὐτὸν ἐν τοῖς ὄρεσιν ἔ-μειναν· πολλοὶ γὰρ ἄνθρωποι κακοὶ ἐκεῖ κατ-ῴκουν, κακῶς ποιοῦντες τὰς ποίμνας καὶ ἀπο-κτείνοντες καὶ ἐσθίοντες τοὺς ἄνδρας.

Πρῶτον μὲν οὖν ἐπ-έ-τυχε Περιφήτῃ τῷ Ἡφαίστου υἱῷ, φέροντι ῥόπαλον μέγα χαλκοῦν. πρῶτον μὲν οὖν ὁ Περιφήτης τὸν Θησέα τῷ ῥοπάλῳ πατάξας ὅσον οὐκ ἐ-νίκησεν· ὁ δὲ Θησεὺς φυλάσσων τὴν κεφαλὴν τῷ ἱματίῳ ἔ-σωσεν ἑαυτόν. ἔπειτα δὲ ἀπο-ρ-ρίψας τὸ ξίφος καὶ τὸ ἱμάτιον προσ-έ-πεσε τῷ ἐχθρῷ, καί, καταλαβὼν τὸν αὐχένα, κατ-έ-βαλεν ἐκεῖνον τὸν κακὸν ἄνθρωπον. οὕτως δὴ ἀπ-έ-κτεινε ἕνα μὲν τῶν ἐχθρῶν καὶ λαβὼν τὸ ῥόπαλον τὸ χαλκοῦν προ-ε-πορεύθη. ἔπειτα δὲ ἐν τῷ ἰσθμῷ ηὗρε Σίνιν,

ὃς πάντας τοὺς τυχόντας ἀπ-έ-κτεινεν ὠμῶς καὶ ἀναιδῶς.

Κατα-κάμψας γὰρ δύο πίτυε, προσ-έ-δει τὰς χεῖρας καὶ τοὺς πόδας τῶν κατα-ληφθέντων τοῖν πιτύοιν, καί, ἀφεὶς τὰ δένδρα, τὰ σώματα δι-έ-σπασεν. πολὺν οὖν χρόνον καὶ δεινῶς ἠγωνίζοντο, τέλος δὲ ὁ Θησεὺς τὸν ἐχθρὸν νικήσας ὁμοίως αὐτὸν δια-φθείρει, καὶ λιπὼν τὸ σῶμα ἐκεῖ κρεμασθὲν δι-ε-τέλει πορευόμενος ἐπὶ τῶν Ἀθηνῶν. ὕστερον δὲ τὸν ἅρπαγα Σκίρωνα τῷ ποδὶ πλήξας ἀπ-ῶσεν κάτω ἐς τὴν θάλασσαν. καὶ τὸ σῶμα αὐτοῦ πέτρος γενόμενον ἐκεῖ ἔτι ἕ-στηκεν. καὶ Κερκυόνα Ἐλευσῖνι ἀπ-έ-κτανε πάλῃ νικήσας, καὶ Προκρούστην τὸν λῃστήν, καὶ Φαῖαν τὴν ἀγρίαν ὗν ἣ τὴν χώραν ἐ-πόρθει. οὕτως οὖν ἡ χώρα εἰρήνην ἦγεν.

XIII. Iphigenia.

Πολλοὶ ἦσαν μῦθοι περὶ τῶν Δαναῶν μετὰ τὰ Τρωικά. ἄλλοι μὲν γὰρ τῶν στρατηγῶν οἴκαδε αὐτίκα ἀπ-ελθεῖν λέγονται, ἄλλοι δὲ μόνον μετὰ πολλὰ ἔτη. ἀλλ' οὐδεὶς ἐ-δύνατο ἐκ τῆς γῆς ἀπ-ιέναι, μὴ θελόντων τῶν θεῶν. καὶ γὰρ οὐκ ἐξῆν τὰς ναῦς ἐν πολλῇ οὔσας ἀπορίᾳ ἀνέμου ἀπο-πλεῦσαι.

Καὶ τοῖς στρατηγοῖς ἐρωτῶσιν ὅ τι ποιήσαντες

ἀπ-ιέναι ἂν δύναιντο Κάλχας ὁ μάντις ἀντ-εῖπεν ὅτι ἡ Ἄρτεμις δι' ὀργῆς ἔχει τὸν Ἀγαμέμνονα ὡς ἀπο-κτείναντα ἔλαφόν τινα ἐν τῷ αὐτῆς ἄλσει, ὅθεν δι' αὐτὴν τὸ ναυτικὸν οὕτως ἔχει· παρ-αινεῖ μέντοι τῷ Ἀγαμέμνονι θύειν Ἰφιγένειαν τὴν θυγατέρα ὡς τὴν θεὸν κατα-πραΰνοῦντι.

Ἡ δὲ Ἄρτεμις λέγεται ἀντ-εισ-αγαγοῦσα ἔλαφον τοῖς θύουσιν ἀντὶ τῆς Ἰφιγενείας ἀπ-ενεγκεῖν αὐτὴν ἐς τὴν Ταυρικήν, ἔνθα ἡ νύμφη ἱέρεια ἐ-γένετο τῆς θεοῦ. διὰ μακροῦ δὲ δι-έ-σωσεν Ὀρέστην τὸν ἀδελφὸν ὅν τις θύσειν ἤμελλε τῇ Ἀρτέμιδι, καὶ μετ' αὐτοῦ ἐς τὴν Ἑλλάδα ἀπ-έ-φυγεν.

XIV. Daedalus and Pasiphae.

Δαίδαλος ὁ Ἀθηναῖος σοφώτατος ἦν τῶν τότε ἀνθρώπων. πολλὰ γὰρ ἄλλα ἐξ-εῦρε καὶ τὴν ἀξίνην· καὶ ἐ-ποίει ἀγάλματα οὕτω δεξιῶς ὥστε ζῆν ἐ-δόκει. ἔπειτα δέ, ἀπο-κτείνας τὸν ἀδελφιδοῦν Τάλον, ἐξ-έ-πεσεν ἐξ Ἀθηνῶν. ἐ-φθόνησε γὰρ τῷ Τάλῳ τῆς δεινότητος, ἐπεὶ ἐμπειρότατος ἦν πάντων τῶν τεχνῶν, καὶ ἐξ-εῦρε τὸν πρίονα, μιμούμενος τὴν ἰχθύος ῥάχιν, καὶ τὸν τροχὸν ᾧ χρώμενος ὁ κεραμεὺς πλάσσει τὴν γῆν. ἐξ Ἀθηνῶν οὖν φυγὼν ἀφ-ίκετο ὁ Δαίδαλος ἐς Κρήτην, νῆσόν τινα πρὸς μεσημβρίαν κειμένην.

ταύτης τῆς γῆς Μίνως ὁ Διὸς ἦρχεν, βασιλεύς τις δυνατώτατος.

Καὶ *τῷ βασιλεῖ ὁ Δαίδαλος ἐ-ποίησε τὸν λαβύρινθον. ὁ δὲ Μίνως ἀγανακτήσας τῷ Δαιδάλῳ εἶρξεν αὐτὸν καὶ τὸν υἱὸν Ἴκαρον ἐν τῷ λαβυρίνθῳ. Πασιφάη γὰρ ἡ τοῦ Μίνω γυνὴ φιλικῶς εἶχεν πρὸς Δαίδαλον καὶ διὰ τοῦτο ὁ βασιλεὺς ἐ-ζημίωσεν αὐτόν· ὁ δὲ Δαίδαλος καὶ ὁ Ἴκαρος πτερὰ ἐκ κηροῦ ποιησάμενοι ἀν-έ-πταντο. ἀλλ' ὁ μὲν Ἴκαρος πλησίον γενόμενος τοῦ Ἡλίου ὥστε ὁ κηρὸς κατ-ε-τάκη, κατ-έ-πεσεν ἐς τὴν θάλασσαν καὶ ἐ-πνίγη. αὕτη μὲν οὖν ἡ θάλασσα ὠνομάζετο πόντος Ἰκάριος ὑπὸ τῶν Ἑλλήνων. ὁ δὲ Δαίδαλος ἀφ-ίκετο ἐς Ἰταλίαν ἀσφαλής, καὶ ἔπειτα πλεύσας ἐξ Ἰταλίας ἐς Σικελίαν παρ-ῆλθεν.*

Ἐ*κεῖ ὁ βασιλεύς, ἰδὼν οἷα ὁ Δαίδαλος δύναται καὶ μαθὼν οἷα ἔ-παθεν ὑπὸ τοῦ Μίνω, αὐτῷ ὡς φίλῳ ἐ-χρήσατο. καὶ οὐ πολλῷ ὕστερον ὁ Μίνως αὐτὸς πρὸς Σικελίαν πλεύσας ἀφ-ίκετο ἐς τὸν τοῦ βασιλέως οἶκον. ἀλλ' αἱ θυγατέρες τοῦ βασιλέως, φιλοῦσαι τὸν Δαίδαλον καὶ βουλόμεναι τὸν Μίνων ζημιοῦν, ἀπ-έ-κτειναν αὐτόν, Δαιδάλου αὐτοῦ βοηθοῦντος. πολλά τε ἔτη ἐν Σικελίᾳ βιώσας, καὶ πολλὰ καὶ καλὰ τὸν βασιλέα ποιήσας καὶ μάλιστα ὑποδοχὴν μεγίστην· ἀφ' ἧς τὸ ὕδωρ ἐς τὴν πόλιν κατ-ήχθη, τέλος πρεσβύτατος ὢν καὶ τιμιώτατος ἀπ-έ-θανεν.*



[*Anderson*

DAEDALUS AND PASIPHAE
(Spada Palace, Rome)



[Anderson

BATTLE AGAINST AMAZONS

(Sarcophagus in Capitoline Museum)

XV. Hercules and the Amazons.

Ἡρακλῆς, ἥρως κλεινότατος ὤν, υἱὸς ἦν Διὸς καὶ Ἀλκμήνης, καὶ ἔμπειρος ἐ-γένετο τοῦ τε τοξεύειν καὶ τοῦ πολεμεῖν καὶ τοῦ ᾄδειν. φυλάσσων δέ ποτε τοὺς τοῦ πατρὸς βοῦς πρῶτον θαυμαστόν τι ἐ-ποίησεν. λέων γάρ τις, μέγιστος ὤν, ἐκ τοῦ ὄρους Κιθαιρῶνος ὁρμώμενος τοὺς ἀγροὺς ἔ-τεμνεν· ἀπο-κτείνας δὲ τοῦτον ὁ Ἡρακλῆς τὸ δέρμα αὐτοῦ ὕστερον ἐ-φόρει· ῥόπαλον δὲ ἐν τῇ δεξιᾷ εἶχεν. Καὶ ἡ Πυθία ποτὲ ἐπ-έ-ταξεν αὐτῷ δουλεύειν τῷ Εὐρυσθεῖ δώδεκα ἔτη, ὑπὲρ οὗ δι-έ-πραξε τὰ δώδεκα ἔργα.

Ἐν οἷς καὶ τόδε ἔτυχε δράσας· αἱ γὰρ Ἀμαζόνες ἦσαν γένος γυναικῶν μαχιμωτάτων· βασίλεια δὲ ἦν Ἱππολύτη· καὶ ζώνην ἐ-φόρει δῶρον Ἄρεος θεοῦ πολέμου. ταύτην δὲ τὴν ζώνην ὁ Εὐρυσθεὺς ἐ-κέλευσε τὸν Ἡρακλέα ἀνα-κομίσαι. πρῶτον μὲν ἡ Ἱππολύτη αὐτὸν προσ-ελθόντα εὖ ἐ-δέξατο, ἔπειτα δὲ Ἥρας τὰς Ἀμαζόνας ἐπ-εγειράσης ἐπ' αὐτὸν μάχη ἐ-γένετο. ἀπο-κτείνας οὖν τὴν Ἱππολύτην ὁ Ἡρακλῆς ἀφ-είλετο τὴν ζώνην.

Αἱ δὲ Ἀμαζόνες πολλάκις ἐ-μάχοντο πρὸς τοὺς Ἕλληνας, καὶ βασιλεύοντος Θησέως ἐσβολὴν ἐ-ποιήσαντο ἐς τὴν Ἀττικήν. ἐν τοῖς Τρωικοῖς τῷ Πριάμῳ ξυν-ε-βοήθησαν, Ἀχιλλέως δὲ ἀπο-κτείναντος Πενθεσίλειαν τὴν βασίλειαν ἀν-ε-χώρησαν ἐς τὴν αὐτῶν γῆν.

XVI. Orestes.

Ἀγαμέμνων δή, πατὴρ ὢν Ὀρέστου, πολὺ ἀπ-ῆν ἀπὸ τῆς γυναικός, ἅτε στρατηγὸς ὢν ἐπὶ τοὺς Τρῶας. ἐκείνη οὖν δεινὰ φρονοῦσα μετὰ τοῦ Αἰγίσθου ἐπι-βουλεύσασα τῷ ἀνδρί, αὐτὸν μὲν ἤδη ἀνα-χωρήσαντα ἀπ-έ-κτεινεν, Αἰγίσθῳ δὲ ἐ-γήματο. ἀλλὰ τὸν Ὀρέστην τὰ αὐτὰ πεισόμενον δι-έ-σωσεν ἡ ἀδελφὴ Ἠλέκτρα. ἐκείνη γὰρ ἔλαθεν ἀπο-πέμψασα αὐτὸν ἐς τὸν Στρόφιον τὸν ἐν Φωκίδι βασιλεύοντα.

Ἐνταῦθα δὲ προσ-ελθὼν Ὀρέστης πάνυ οἰκείως ἔσχε πρὸς Πυλάδην τὸν τοῦ Στροφίου υἱὸν ἐς τοσοῦτον ὥστε τὴν ἐκείνων φιλίαν γενέσθαι παροιμίαν. ἥκων δὲ ἐς ἥβην μετὰ τοῦ φίλου ἀφανὴς ὢν ἀπ-ῆλθεν ἐπ' Ἄργος, καὶ ἀπο-κτείνας τήν τε μητέρα καὶ τὸν Αἴγισθον ἐ-τιμώρησατο αὐτοὺς ἀντὶ τοῦ φόνου τοῦ πατρός.

Μανίας δὲ ἐπι-γενομένης γῆν πρὸ γῆς ἀπ-έ-φυγεν ὑπὸ τῶν Ἐρινύων διωκόμενος. τέλος δέ, παρ-αινοῦντος τοῦ Ἀπόλλωνος, σωτηρίαν ἐ-ζήτησεν ἐν τῷ τῆς Ἀθήνας νεῷ τῷ ἐν Ἀθήναις. καὶ δίκην φόνου φεύγων παρὰ τῷ Ἀρείῳ πάγῳ ἀπ-ε-λύθη. ἄλλοι μέντοι λέγουσιν ὅτι ὁ Ἀπόλλων κελεύει αὐτὸν κτήσασθαι τὴν τῆς Ἀρτέμιδος εἰκόνα ἐκ τῆς Ταυρικῆς, ὅτι δὲ οἱ ἐν τῇ γῇ ἐν-οικοῦντες λαβόντες αὐτὸν θύειν βουλεύουσιν, ἡ δὲ ἀδελφὴ



ΟΡΕΣΤΗΣ ΑΠΟΛΛΩΝΟΣ ΙΚΕΤΗΣ.

αὐτοῦ ἀνα-γνωρίσασα τὸν ἀδελφὸν μετ' αὐτοῦ τὴν εἰκόνα φέρουσα ἐκ-φεύγει ἐς σωτηρίαν· ὁ δὲ Ὀρέστης ἐς τὴν Πελοπόννησον κατ-ελθὼν καὶ κτησάμενος τὴν τοῦ πατρὸς βασιλείαν τὴν ἐν Μυκήναις Ἑρμιόνην τὴν τοῦ Μενέλεω θυγατέρα ἔ-γημεν.

XVII. Croesus.

Κροῖσος, ὁ τῶν Λυδῶν βασιλεύς, ἐ-λέγετο εἶναι πλουσιώτατος πάντων ἀνθρώπων. βουλόμενος δὲ ἔτι πλουσιώτερος καὶ δυνατώτερος εἶναι, ἐ-βουλεύσατο πόλεμον πρὸς τοὺς Πέρσας ποιεῖσθαι. πρὶν δὲ πόλεμον ποιεῖσθαι ἔ-πεμψε πρέσβεις ἐς Δελφοὺς ἐρωτήσοντας τὸν θεὸν εἰ στρατεύσεται ἐπὶ τοὺς Πέρσας. καὶ τὸ μαντεῖον ἀπο-κρίνεται ἢν στρατεύηται ἐπὶ τοὺς Πέρσας μεγάλην ἀρχὴν αὐτὸν κατα-λύσειν. τότε δὴ ὁ βασιλεύς, νομίζων τὸν θεὸν τὴν Περσικὴν ἀρχὴν λέγειν, ἄγει τὴν στρατιὰν ἐς τὴν τῶν Περσῶν χώραν. καὶ ὁ τῶν Περσῶν βασιλεύς, ὀνόματι Κῦρος, ἀγείρας μέγαν τινὰ στρατὸν Κροίσῳ ἐ-μαχέσατο· μάχης δὲ καρτερᾶς γενομένης καὶ πεσόντων ἀμφοτέρωθεν πολλῶν, τέλος οὐδέτεροι νικήσαντες δι-έ-στησαν.

Καὶ ὁ Κροῖσος, βουλόμενος μείζω στρατιὰν ξυλ-λέγειν, οἴκαδε ἐπ-αν-ῆλθεν, ἐν νῷ ἔχων τῷ

ἐπ-ιόντι ἐνιαυτῷ πάλιν ἐς πόλεμον κατα-στῆναι. ὁ δὲ Κῦρος μαθὼν τοὺς πολεμίους ἀνα-χωρήσαντας, ἐ-στράτευσεν ὡς τάχιστα ἐπὶ τὰς Σάρδεις τὴν τῶν Λυδῶν μητρόπολιν. ἀφ-ικόμενός τε ἐκεῖσε ᾔσθετο τὸν τῶν Λυδῶν στρατὸν ὡς ἐπὶ μάχην προσ-ταχθέντα, καὶ ἐ-φοβεῖτο ὁρῶν τοὺς ἱππέας ὅσοι εἰσίν. ἐ-μηχανήσατο οὖν τι τοιόνδε· λαβὼν πάσας τὰς καμήλους τὰς τὸν σῖτον καὶ τὰ σκεύη φερούσας ἀντι-κατ-έ-στησεν πρὸς τοὺς τῶν πολεμίων ἱππέας· ἵπποι γὰρ καμήλους φοβοῦνται ἀεί, οὐκ ἀν-εχόμενοι οὔτε τὴν ἰδέαν ὁρῶντες οὔτε τῆς ὀσμῆς ὀσφραινόμενοι.

Διὰ δὲ ταῦτα, τῆς μάχης εὐθὺς γιγνομένης, οἱ τῶν Λυδῶν ἵπποι ἀν-έ-στρέφοντο, καὶ ὁ στρατὸς ἐς τὴν πόλιν ἔ-φυγεν. καὶ ὁ Κῦρος πολιορκήσας τὰς Σάρδεις οὐ πολλὰς ἡμέρας κατ-έ-λαβεν, καὶ τὸν Κροῖσον ζῶντα εἷλεν· ποιήσας τε πυρὰν μεγάλην τὸν Κροῖσον ἀν-ε-βίβασεν ἐπ' αὐτὴν πέδαις δε-δεμένον. τότε δὴ ἐ-κέλευσεν ἅψαι τὴν πυράν. ἀλλ' ὁ Κροῖσος ἐπ-ε-καλέσατο τὸν Ἀπόλλωνα κελεύων ἐπι-βοηθεῖν, πολλὰ γὰρ καὶ καλὰ δῶρα τῷ ἐν Δελφοῖς ἱερῷ ἐ-δε-δώκει. καὶ ὁ θεὸς ἀκούσας αὐτοῦ εὐχομένου ἔ-σωσεν· ὄμβρον γὰρ πολὺν ἔ-πεμψεν καὶ τὸ πῦρ ἔ-σβεσεν. καὶ ὁ Κῦρος αἰσθόμενος αὐτὸν δίκαιον ὄντα καὶ φίλον τῶν θεῶν εἶχεν αὐτὸν ἀεὶ ἐν πολλῇ φιλίᾳ.



XVIII. The Cyclops.

Ὀδυσσεὺς ξυν-εστράτευσε τοῖς ἄλλοις Ἕλλησιν ἐπὶ τὴν Τροίαν, καὶ δέκα ἔτη πολιορκήσαντες τὴν πόλιν τέλος κατ-έ-λαβον. καὶ μετὰ ταῦτα οἱ ἄλλοι ἡγεμόνες οἴκαδε ἀπ-ῆλθον, πανύστατος δὲ ὁ Ὀδυσσεὺς καὶ οἱ περὶ αὐτόν. ἀλλ' ἀπο-πλεύσας ξὺν δώδεκα ναυσὶν αὐτοῖς τοῖς ναύταις οὐ καλῶς ἔ-πραξεν, δέκα δὲ ἔτη περι-πλανηθεὶς μόλις ἐς τὴν πατρίδα ἀφ-ίκετο.

Καὶ ἦλθέ ποτε πλανώμενος ἐς τὴν τῶν Κυκλώπων γῆν· καὶ οἱ ἑταῖροι ὁρμίσαντες τὰς ναῦς παρὰ νήσῳ τινὶ οὐ πολὺ ἀπ-εχούσῃ τῆς ἠπείρου τῇ ὑστεραίᾳ τὸν πορθμὸν δι-έ-βησαν εἴ τι ἐν τῇ ἠπείρῳ εὕροιεν.

Προσ-ελθόντες δὲ ἐπὶ τὸ τοῦ Πολυφήμου ἄντρον, κενὸν ἀνθρώπων αὐτὸ ἐφ-εῦρον. ὁ δὲ Πολύφημος ἀνα-χωρήσας ἐπ-έ-τυχεν αὐτοῖς ἐν τῷ ἄντρῳ· ὀργισθεὶς δὲ δύο τῶν ξένων κατα-λαβὼν καὶ ἐπὶ τὴν γῆν προσ-ουδίσας ἀπ-έ-κτει-νεν. ἠπόρει οὖν ὁ Ὀδυσσεὺς καὶ οἱ περὶ αὐτὸν ὅπως ἐκ-φεύξονται, τέλος δὲ τοιόνδε ἐ-μηχανή-σατο· πρῶτον μὲν ἔδωκε τῷ γίγαντι τὸν οἶνον τὸν ἐν τῇ αὑτοῦ πήρᾳ ὄντα, ὅνπερ ἐκεῖνος κατα-πιὼν ἐ-κοιμήθη. ἔπειτα δὲ σταυρόν τινα ἀκονήσας καὶ σκληρὸν ἐν τῷ πυρὶ ποιησάμενος, ἔ-ωσεν αὐτὸν ἐς τὸν ὀφθαλμὸν τὸν τοῦ Πολυφήμου· ἅμα δὲ τῇ ἕῳ ὁ Κύκλωψ ἀφ-ελὼν τὸν λίθον ἐ-φύλασσε τὴν τοῦ ἄντρου θύραν, ὁ δὲ Ὀδυσ-σεὺς καὶ οἱ ἑταῖροι ἐπι-λαβόμενοι κάτωθεν τῶν ἐρίων τῶν προβάτων τῶν ἐν τῷ ἄντρῳ ἔ-λαθον ἐκ-φυγόντες, δόλῳ ἐξ-απατήσαντες τὸν Κύκλωπα, καὶ ἐπὶ τὴν ναῦν ἐπι-βάντες ἀπ-έ-πλευσαν.

XIX. Perseus.

Περσεὺς δὲ υἱὸς ἦν τοῦ Διὸς καὶ τῆς Δανάης. ὁ δὲ πατὴρ ἐκείνης ἀγανακτήσας τῇ θυγατρὶ ἐξέβαλε τὴν μητέρα καὶ τὸν παῖδα ἐς τὴν θάλασσαν, ἐπὶ λάρνακος ἐπιθείς.


Μετὰ δὲ πολλὰς ἡμέρας προσῆλθον ἐς τὴν Σέριφον νῆσον. ἁλιεὺς δέ τις, ὀνόματι Δίκτυς, εὑρὼν αὐτοὺς ἡγήσατο παρὰ τὸν Πολυδέκτην

τὸν τῆς γῆς βασιλέα, ὑφ' οὗ εὖ ἔπαθον. τέλος δὲ ὁ βασιλεὺς φιλῶν τὴν Δανάην ἀφανίσαι τὸν Περσέα ἐβούλετο.

Διὰ τοῦτο ἀπέπεμψεν αὐτὸν εἴ πως κτήσαιτο τὴν κεφαλὴν τῆς Μεδούσης τῆς Γοργοῦς. βοηθοῦντος δὲ τοῦ Ἑρμοῦ καὶ τῆς Ἀθήνης προσῆλθε πρὸς τὰς Γραίας τὰς τῶν Γοργόνων ὁμαίμους, ἀφ' ὧν ἀφεῖλε τὸν ὀδόντα καὶ τὸν ὀφθαλμόν (τρεῖς γὰρ οὖσαι ἕνα μόνον εἶχον), οὐδὲ ἀποδοῦναι ἤθελεν ἢν μὴ ἀποδεικνύωσι τὴν ὁδὸν τὴν ἐπὶ τὰς Νύμφας ἄγουσαν· αὗται γὰρ εἶχον τὰ πτηνὰ πέδιλα καὶ τὴν πήραν καὶ τὴν τοῦ Πλούτωνος κόρυθα, ἥνπερ φορῶν τις ἀφανὴς ἐγένετο.


Λαβὼν οὖν ταῦτα ἀπὸ τῶν νυμφῶν καὶ δρέπανον ἀφ' Ἑρμοῦ καὶ ἀπ' Ἀθήνης κάτοπτρον, ἐς τὸν ἀέρα ἀναπτόμενος προσῆλθεν ἐς τὸν τῶν Γοργόνων οἶκον. εὑρὼν δὲ αὐτὰς καθευδούσας καὶ τὴν Μέδουσαν κατιδὼν διὰ τοῦ κατόπτρου (οὐ γὰρ χαίρων γε ἐδύνατο κατὰ στόμα), ἀπέτεμεν αὐτῆς τὴν κεφαλήν.

Ἐνθεὶς δὲ ἐν τῇ πήρᾳ ἀπέφυγεν, οὐδὲ αἱ ἄλλαι οἷαί τε ἦσαν καταλαβεῖν αὐτὸν τὴν κόρυθα ἠμφιεσμένον. ἀπελθὼν δὲ ἐντεῦθεν ἐς τὴν Αἰθιοπίαν χώραν ἔγημε τὴν Ἀνδρομέδαν, κατελθὼν δὲ πρὸς Σέριφον διασώσας τε τὴν μητέρα, ἐν Ἄργει ξὺν αὐταῖς κατῴκησεν.



[*Alinari*

PERSEUS
(Vatican Museum)



JASON
(From a statue by Thorwaldsen)

XX. Jason.

Αἴσων, ὁ Ἰάσονος πατήρ, βασιλεὺς ἦν ἐν τῇ Ἰωλκίᾳ γῇ, ἀλλ' ἐκ τῆς πατρίδος ὕστερον ἐξέπεσεν ὑπὸ τοῦ ἀδελφοῦ Πελίου. φεύγων δὲ ἤνεγκε τὸ παιδίον Ἰάσονα πρὸς τὸν Κένταυρον Χείρωνα τὸν σοφώτατον καὶ εὐκλεέστατον τῶν τότε ἀνθρώπων. ὁ δὲ ἐπαίδευεν ἐν τῷ ὄρει Πηλίῳ καὶ Ἡρακλέα καὶ Ἀσκληπιὸν καὶ Πηλέα καὶ πολλοὺς ἄλλους τῶν ἡρώων. καὶ ἐδίδασκεν αὐτοὺς θηρᾶν λαγὼς καὶ αἶγας ἐν τοῖς ὄρεσι, καὶ παλαίειν καὶ πὺξ ἀγωνίζεσθαι ὥστε ταχεῖς καὶ ἰσχυροὺς γενέσθαι, καὶ μέλη ᾄδειν πρὸς αὐλὸν καὶ πρὸς λύραν, καὶ τοὺς νοσοῦντας θεραπεύειν, καὶ πάντα τὰ ἐπιτηδεύματα ὅσα ἐν ἀνθρώποις ἔνδοξά ἐστιν.

Τέλος δέ, τοῦ Ἰάσονος ἤδη ἡβῶντος, ὁ Χείρων ἐκάλεσεν αὐτὸν καὶ ἐκέλευσεν ἐξιόντα εὑρίσκειν τὸν Πελίαν τὸν κακὸν βασιλέα, καὶ ἀξιοῦν αὐτὸν τὴν ἀρχήν, τὴν ἀδίκως κλαπεῖσαν, ἀποδιδόναι. ὁ μὲν οὖν ταῦτα ἐποίησεν. ὁ δὲ Πελίας οὐκ ἔφη ἀποδώσειν τὴν ἀρχὴν πρὶν ἂν ὁ Ἰάσων ἔλθῃ φέρων τὸ χρυσοῦν δέρμα, τὸ ἐν Κολχίδι κρεμασθέν. πρὸς ταῦτα δὲ ἀντεῖπεν ὁ Ἰάσων ὅτι τὸ δέρμα ζητήσας κατοίσει. ξυνέλεξεν οὖν πάντας τοὺς ἥρωας τοὺς μεθ' ἑαυτοῦ

ἐν Πηλίῳ πεπαιδευμένους, Ἡρακλέα τε καὶ Ὀρφέα καὶ Τελαμῶνα τὸν Αἴαντος πατέρα καὶ Τῖφυν κυβερνήτην καὶ τοὺς ἄλλους ἐς πεντήκοντα. οὗτοι οὖν πολλὰ παθόντες καὶ Ἥρας βοηθούσης τέλος ἀφίκοντο ἐς Κολχίδα.

Ἐκεῖ δε οὐδὲν ἂν ἔπραξαν εἴ γε μὴ Μήδεια, ἡ τοῦ Κολχικοῦ βασιλέως θυγάτηρ, Ἰάσονα διὰ φιλίας ἔχουσα, αὐτοῖς ἐπεκούρησεν. ἐκείνη γὰρ παντοίων φαρμάκων τε καὶ φίλτρων ἔμπειρος οὖσα ἔδειξεν αὐτῷ ὅπως τοὺς ταύρους τοὺς πῦρ ἐκπνέοντας ἂν δαμάζοι, καὶ τοὺς μυρίους ὁπλίτας αὐτὸς καθ' αὑτοῦ μόνος ἂν νικῴη. ἔπειτα δὲ ἡ Μήδεια κατεκοίμησε τὸν δράκοντα τὸν τὸ δέρμα φυλάσσοντα, καὶ ὁ Ἰάσων ἀπέπλευσεν ἀποκομίζων τό τε δέρμα καὶ τὴν Μήδειαν. ἐκείνη γὰρ ἐφοβήθη μὴ ὁ πατὴρ ὀργισθεὶς αὐτὴν ἀποκτάνοι. καὶ ὁ Ἰάσων ἔγημεν αὐτὴν καὶ τὴν ἀρχὴν παρὰ τοῦ Πελίου ἀπεδέξατο.

XXI. Ulysses and Argus.

Τοῦ *Τρωικοῦ πολέμου ἤδη τελευτηθέντος, οἱ Ἕλληνες ἐπανῆλθον ἕκαστος πρὸς τὴν ἑαυτοῦ οἰκίαν, καὶ ἐν τοῖς ἄλλοις Ὀδυσσεύς, ὃς ἐν Ἰθάκῃ ᾤκησεν. ἀλλ' ἔδει αὐτὸν πανταχοῦ πλανᾶσθαι κατὰ γῆν καὶ κατὰ θάλασσαν, καὶ*



καθορμίζεσθαι ἐς πολλά τε καὶ ξένα χωρία, πρὶν ἰδεῖν τὴν φίλην γυναῖκα καὶ τὸν υἱὸν καὶ τὴν νῆσον Ἰθάκην. εἴκοσιν οὖν ἔτη ἐφοίτα, ἐντυγχάνων παντοίοις κινδύνοις, ἄλλοτε μὲν τοῦ χειμῶνος, ἄλλοτε δὲ τῶν ἀνθρώπων· Αἴολος γὰρ ὁ τῶν ἀνέμων βασιλεὺς ἐχθρὸς ἐγένετο αὐτῷ, καὶ τὴν ναῦν ἄνω καὶ κάτω ἤλασεν μεγάλοις ἀνέμοις.

Τέλος δὲ τῷ εἰκοστῷ ἔτει ἀφίκετο ἐς Ἰθάκην καὶ τὴν ναῦν ἐπώκειλε ἐς τὸν μικρὸν λιμένα. τότε δὲ λάθρᾳ πρὸς τὴν τοῦ συβώτου Εὐμαίου καλύβην προσῆλθεν. ἐκεῖνος δὲ ἠπόρει οὐκ ἐπιγιγνώσκων τὸν δεσπότην τίς ἐστί· πολὺν

γὰρ χρόνον ἤδη ἀπεδήμει. ἀλλ᾽ ἐγγὺς ἔκειτο χαμαὶ κύων τις Ἄργος, πρεσβύτατος ἤδη γεγενημένος, ὃν ὁ Ὀδυσσεύς ποτε ἔθρεψεν ἐν τῇ οἰκίᾳ. καὶ ἐκεῖνος ἀκούσας τὴν τοῦ δεσπότου φωνὴν τὴν κεφαλὴν καὶ τὰ ὦτα ἐκίνει καὶ ἔσαινεν, δῆλος ὢν ἐπιγιγνώσκων αὐτὸν τίς ἐστίν. ἀλλ᾽ οὐκέτι ἤρκεσεν αὐτῷ ἡ ἰσχὺς ὥστε δύνασθαι πρὸς τὸν Ὀδυσσέα προσελθεῖν. οὕτως οὖν ἔκειτο τὸν δεσπότην τοῖς ὄμμασι τηρῶν.

Ὁ δὲ Ὀδυσσεύς, ἰδὼν τὸν κύνα, ὅν ποτε σκύλακα κατ᾽ οἶκον ἔσχεν, καταγηρήσαντα δὴ καὶ ὅσον οὐ θνήσκοντα, ἐδάκρυσεν. ὅμως δακρύων ἔλαθε τὸν Εὔμαιον. ἔπειτα δέ, ἀνελθόντος τοῦ Ὀδυσσέως ἐς τὴν οἰκίαν, ὁ κύων λύπῃ νικηθεὶς ἀπέθανεν. ἐκεῖνος δὲ μόνος ἐπέγνω τὸν δεσπότην, οὔτε γὰρ ἡ γυνὴ οὔτε τῶν θεραπόντων οὐδεὶς οὔτε ὁ υἱὸς πρῶτόν γε αὐτὸν ἐπέγνω. ἐξ οὗ γὰρ ἀπῴχετο ἐκ τῆς γῆς πολεμήσων, οὐδεὶς τῶν ἐν τῇ νήσῳ αὐτὸν εἶδεν καὶ πολλοὶ δὴ ἐνόμιζον αὐτὸν τεθνηκέναι. ὁ γὰρ πόλεμος δέκα ἤδη ἔτη ἐτελευτήθη, καὶ τὰ περὶ τοῦ Ἰλίου ἐκπολιορκηθέντος προσηνέχθη.

XXII. Diomede.

Διομήδης ὁ Τυδέως προέσχε τῶν πλείστων τῶν ἡγεμόνων τῇ ἀνδρείᾳ, καὶ οὐ μόνον πρὸς ἄνδρας ἀλλὰ καὶ πρὸς θεοὺς ἐμάχετο. μαχόμενος γάρ ποτε πρὸς τοὺς Τρῶας εἶδεν τὸν Αἰνείαν ξὺν Πανδάρῳ τῷ Λυκάονος ἐπὶ τοὺς Ἕλληνας ἐν ἅρματι φερόμενον. τότε δὴ ὁ Διομήδης ἐξεπήδησε καὶ ῥίψας τὸ δόρυ οὐχ ἥμαρτε τοῦ Πανδάρου. ἐκεῖνος δὲ τὸ πρόσωπον τετρωμένος ἀπέθανεν. καὶ ὁ Αἰνείας, ἰδὼν οἷα ὁ ἑταῖρος ἔπαθεν, κατεπήδησεν ἀπὸ τοῦ ἅρματος καὶ δρόμῳ ὥρμησεν ἐπὶ τὸν Διομήδεα. ὁ δὲ Διομήδης οὐδὲν δόρυ οὐκέτι ἔχων κατέλαβε λίθον τινὰ μέγαν ὡς ἐπιβαλῶν ἐπὶ τὸν πολέμιον.

Καὶ ὁ Αἰνείας τῷ λίθῳ τὸν μηρὸν πληγεὶς κατέπεσεν, καὶ ἀπέθανεν ἂν ὑπὸ τοῦ Διομήδους, εἰ μὴ ἡ θεὸς Ἀφροδίτη ἡ μήτηρ αὐτοῦ ἔσωσεν. ἡ γὰρ θεὸς ἰδοῦσα τὰ πραχθέντα ταχέως κατέβη ἐξ Ὀλύμπου καὶ ἀπήνεγκε τὸν υἱὸν περικαλύπτουσα αὐτὸν νέφει. ἀλλ' ὁ Διομήδης, αἰσθόμενος Ἀφροδίτην οἷα ἔπραξεν, εὐθὺς ἐδίωξεν, καὶ καταλαβὼν δόρυ ἔτρωσε τὴν χεῖρα αὐτῆς. ἐκείνη δὲ μέγα βοῶσα ἀφῆκε τὸν Αἰνείαν ὃν ὅμως ὁ Ἀπόλλων ἔσωσεν, καταλαβὼν τοῖν χεροῖν καὶ ἀποφέρων ἐς τὴν πόλιν. ἀλλ' ἡ Ἀφροδίτη ἀπῆλθεν ἐς Ὄλυμπον δακρύουσα διὰ τὸ τραῦμα.

ἐκεῖ δὲ Διώνη ἡ μήτηρ δεξαμένη ἐθάρσυνεν αὐτήν.

Ἐν δὲ τούτῳ ὁ μὲν Διομήδης ἐπεχείρησε τῷ Ἀπόλλωνι. ὁ δὲ θεὸς πρῶτον μὲν ἠμύνατο τῇ ἀσπίδι, ἔπειτα δὲ τοῦ Διομήδους οὔπω παυσαμένου, ἔλεξε τοιάδε. ἆρ᾽ οὐ, ὦ παῖ Τυδέως, οἶσθα τίς ἐγώ εἰμι; μῶν δῆτα ἐν νῷ ἔχεις ἀποκτείνειν ἐμὲ τὸν τοῦ τόξου δεσπότην, τὸν ἀνδρειότατόν τε καὶ τὸν ἰσχυρότατον τῶν ἀθανάτων; παῦσαι τῆσδε τῆς ἐπιχειρήσεως καὶ ἐπανελθὼν πρὸς τὴν μάχην ἀπόκτεινε τοὺς ἀνθρώπους ὅσους βούλει. καὶ ὁ Διομήδης ἀκούσας ταῦτα ἐπείσθη καὶ ἐπαύσατο διώκων τὸν θεόν. μάλιστα δὲ ἠγανάκτησε διὰ τὸ τὸν Αἰνείαν οὕτως σωθῆναι, καὶ πολλῷ χρόνῳ ὕστερον ἐμαχέσατο πρὸς αὐτὸν ἐν Ἰταλίᾳ.

XXIII. Alexander.

Ἀλέξανδρος βασιλεὺς ἐγένετο τῶν Μακεδόνων, ἀποθανόντος γὰρ Φιλίππου τοῦ ἀδελφοῦ τὴν ἀρχὴν διεδέξατο, ἤδη εἴκοσιν ἐτῶν μόνον ὤν· πολλοὶ μέντοι ἦσαν αὐτῷ ἐχθροί. τοὺς μὲν οἴκοι ἐχθροὺς ὄντας πρῶτον μὲν ξυνελεῖν ἤρξατο, τότε δὲ καὶ τοὺς ἔξω. τοῖς γὰρ Ἕλλησι ταχέως καὶ ἐξαίφνης ἐπιστρατευσάμενος ἐνί-

κησεν, οὐδὲ οἱ Θηβαῖοι αὐτῷ ἀντέστησαν, οἱ δὲ Ἕλληνες οἱ ἐπὶ τὴν Ἰσθμὸν ξυνελθόντες αὐτὸν στρατηγὸν εἵλοντο ἐπὶ τοὺς Πέρσας.

Ὁ δὲ Ἀλέξανδρος ἀθροίσας στράτευμα καὶ διαβὰς τὸν Ἴστρον ποταμὸν στρατιὰν ἐπόρευσεν ἐπὶ τοὺς βαρβάρους τοὺς πρὸς Βορέαν. ἐν δὲ τούτῳ οἱ Θηβαῖοι φήμῃ ἀκούσαντες τὸν Ἀλέξανδρον ὡς ἀποτέθνηκεν ἀφίσταντο· ἐκείνου δὲ κατελθόντος, δεινὰ ἔπαθον, προσβαλὼν γὰρ εἷλε τὴν πόλιν καὶ τῶν πολιτῶν τοὺς μὲν ἀπέκτεινεν τοὺς δὲ ἠνδραποδίσατο.

Ἅμα δὲ τῷ ἦρι ἐπεραιώθη τὸν Ἑλλήσποντον ἔχων μεθ' αὐτοῦ τριάκοντα πέντε χιλίους μάλιστα ὁπλίτας τε καὶ ἱππέας, ξυνελθὼν δὲ ἐς χεῖρας τοῖς Πέρσαις ἐπὶ τῷ Γρανίκῳ ποταμῷ μάχῃ ἐκράτησεν. τῷ δὲ ἐπιγιγνομένῳ ἔτει ξυλλέξας τὸ στράτευμα ἐς Γόρδιον ἐξέλυσεν ἐκεῖ τὸ ἅμμα, ὅπερ οὐδείς, ὡς ἐλέχθη, ἐδυνήσατο πλὴν εἴ τις τὴν Ἀσίαν ἔμελλε κρατήσειν. οὐ δὲ διὰ μακροῦ ἐπορεύθη ἐς Ἰσσὸν καὶ τὴν στρατιὰν Δαρείῳ τῷ βασιλεῖ τῶν Περσῶν ἀντιτάξας ἐπεφέρετο· ὁ δὲ Δαρεῖος νικηθεὶς αὐτὸς μὲν ἀπέφυγεν, τὴν δὲ μητέρα αὐτοῦ καὶ τὴν γυναῖκα καὶ τὰ τέκνα ζωγρήσας ὁ Ἀλέξανδρος εὖ ἐποίησεν. πρόσω οὖν ἀναβὰς πολλὰς καὶ καλὰς πόλεις ἔλαβε καὶ ἔστιν ἃς καὶ ἔκτισεν· ἐκ δὲ

τούτων πολλῷ κλεινοτάτη ἦν ἡ Ἀλεξάνδρεια ἣν Ἀλέξανδρος ἀφ' αὑτοῦ ἐπωνόμασεν.

Ὁ μέντοι Δαρεῖος ἄλλο στράτευμα ξυλλέξας ἐν τοῖς Γαυγαμήλων πεδίοις αὖθις πρὸς Ἀλέξανδρον προσεμίχθη. ἰδὼν δὲ τὰ ἑαυτοῦ ὅτι οὐ προχωρεῖ ἐς καταφυγὴν ἐτράπετο ὁ Δαρεῖος καὶ οἱ μετ' αὐτοῦ, ἥκων δὲ ἐς τὴν τῶν Πάρθων γῆν ἅμα τῷ ἦρι φόνῳ ἀπέθανεν. καὶ μετὰ ταῦτα ὁ Ἀλέξανδρος πολλοὺς ποιησάμενος αὑτῷ ὑπηκόους ἐπὶ Πῶρον τὸν βασιλέα τῶν Ἰνδῶν ἐπεστράτευεν· νικήσας δὲ αὐτὸν καὶ ζωγρήσας ἀνδρείως πολὺν χρόνον ἀντιστάντα πολὺ ἐτίμα καὶ ἐς τὴν ἀρχὴν αὖθις ἀνέστησεν. πολλὰ μὲν δὴ ἄλλα ἐνεθυμεῖτο, νοσήσας δὲ ἕνδεκα ἡμερῶν ἀπέθανεν ἐν Βαβυλῶνι. φανερὸς ἦν εἴ τις καὶ ἄλλος κλεινότατος ὢν στρατηγός.

XXIV. Ulysses and the Suitors.


Ὁ δὲ Ὀδυσσεὺς μετὰ τοῦ συβώτου ἐς τὴν ἑαυτοῦ οἰκίαν ἀνῆλθεν ῥάκεσιν ἀμφιεσθείς, πτωχῷ ἐοικώς, καὶ ἐν χερσὶ βακτηρίαν ἔχων. καὶ ἐν τῷ μεγάρῳ εὗρεν οὐ τὴν γυναῖκα ἀλλ' ὡς ἑκατὸν ἄνδρας δειπνοῦντας καὶ πίνοντας οἶνον. ἔσφαζον γὰρ καθ' ἡμέραν βοῦς τε καὶ πρόβατα καὶ ὗς, καὶ δι' ἡμέρας ἐδείπνουν. οὗτοι γὰρ οἱ ἄνθρωποι, νομίζοντες ὅτι ὁ Ὀδυσσεὺς τέθνηκεν, πρὸς τὴν



[*Anderson*

ALEXANDER

(Capitoline Museum)



ULYSSES KILLING THE SUITORS

(Flaxman)

οἰκίαν ἧκον βουλόμενοι ἕκαστος γαμεῖν Πηνελόπειαν τὴν τοῦ Ὀδυσσέως γυναῖκα. ἀλλ' ἐκείνη οὐκ ἤθελεν, ἐλπίζουσα ἀεὶ τὸν ἄνδρα ἐπανιέναι. καὶ νῦν ἔτυχεν οὖσα ἐν τῷ θαλάμῳ ξὺν ταῖς θεραπαίναις δακρύουσα καὶ ὀδυρομένη ὑπὲρ Ὀδυσσέως.

Ἐκεῖνος δέ, κλείσας τὰς τοῦ μεγάρου θύρας καὶ ἔχων περὶ ἑαυτὸν τὸν παῖδα Τηλέμαχον καὶ τὸν συβώτην καὶ Φιλοίτιον τὸν βουκόλον, οἳ μόνοι ἐπέγνων αὐτόν, ἕστηκεν. τότε δὴ κατέλαβε τὸ τόξον τὸ μέγα, ὃ οὐδεὶς οὐδέποτε, εἰ μὴ Εὔρυτος, τείνειν ἐδύνατο. καὶ γὰρ Εὔρυτος θανούμενος ἔδωκεν αὐτὸ τῷ υἱῷ Ἰφίτῳ, καὶ Ἴφιτος τῷ Ὀδυσσεῖ, ἐπιτυχὼν αὐτῷ νεανίσκῳ ἔτι ὄντι ἐν Μεσσήνῃ. τοῦτο οὖν κατέλιπεν οἴκοι ὁ Ὀδυσσεὺς ἐπὶ τὴν Τρῳάδα πορευόμενος· ἀλλ' ἡ θεὸς Ἀθηναία νῦν ἀνέμνησεν αὐτὸν τὸ τόξον καὶ τοὺς ὀϊστοὺς οὓς πολλοὺς εἶχεν ἐν τῇ φαρέτρᾳ. ἡ γὰρ Ἀθηναία ἐφίλει τὸν Ὀδυσσέα καὶ ἀεὶ ἐβοήθει αὐτῷ ἀποροῦντι.

Τείνας οὖν τὸ τόξον ἕστηκεν Ὀδυσσεὺς καὶ οἱ μνηστῆρες ἐφοβοῦντο. πρῶτον μὲν ἐπέτυχεν Ἀντινόου πίνοντος οἶνον ἐκ χρυσοῦ ποτηρίου, καὶ ὁ ὀϊστὸς διέτρωσε τὸν αὐχένα. ἔπειτα δὲ πολλοὺς ὡσαύτως ἀπέκτεινεν. καὶ οὐδένων ὀϊστῶν ἔτι ὄντων, καταλαβὼν ξίφος τε καὶ ἀσπίδα, ἃ ὁ Τηλέμαχος ἐπόριζεν αὐτῷ, πολὺν

χρόνον ἐμάχετο καὶ ἀνδρείως. τέλος δέ, οὐδενὸς τῶν μνηστήρων ἔτι ζῶντος, ἀνέῳξε τὰς θύρας καὶ καλέσας τὰς θεραπαίνας ἔδειξεν οἷα πέπραχεν. ἐκεῖναι δέ, δακρύουσαι χαρᾷ, ἤγγειλαν τῇ δεσποίνῃ Πηνελοπείᾳ πάντα ὅσα ἴδοιεν. τότε δὴ πολὺ θαυμάσασα κατέβη ἐς τὸ μέγαρον ὡς αὐτὴ ὀψομένη.

XXV. Ulysses and Penelope.

Καὶ ἡ Πηνελόπεια ἰδοῦσα τὸν ἄνδρα ῥάκεσιν ἀμφιεσθέντα οὐκ ἐπέγνω. καὶ ὁ υἱὸς Τηλέμαχος ἐμέμψατο αὐτὴν λέγων, τί δῆτα, ὦ μῆτερ, οὕτως σκληρὰ εἶ; οὗτος γὰρ δὴ ὡς ἀληθῶς Ὀδυσσεύς ἐστιν, ὁ ἐμὸς πατὴρ καὶ ὁ σὸς ἀνήρ· ἆρ᾽ οὐκ ἐπιγιγνώσκεις σὺ τὸν ἄνδρα; ἀλλ᾽ ἐκείνη ἀπεκρίνατο, μὰ Δία, φοβοῦμαι γὰρ μὴ ψευδής τις πανοῦργος ἀποβαίνῃ· πολλάκις γὰρ ἐπιχειροῦσί με ψεύδειν λέγοντες ὅτι εἰσὶ δὴ Ὀδυσσεύς. οὐ γὰρ ἐπὶ εἴκοσιν ἔτη ἑόρακα αὐτόν. ἀεὶ δὲ ἠπίστησα τούτοις τοῖς λόγοις καὶ νῦν ἀπιστῶ. ἢν δὲ οὗτος ὁ ἀνὴρ ᾖ ἀληθῶς Ὀδυσσεὺς ταχέως γνωσόμεθα. τεκμήρια γάρ τινά ἐστιν ἃ νώ, ἐγώ τε καὶ αὐτός, ἴσμεν.

Ἐν δὲ τούτῳ, Τηλεμάχου καὶ τῆς μητρὸς οὕτως διαλεγομένων, ὁ Ὀδυσσεὺς ἀπελθὼν ἔλαθεν, καὶ ἔπειτα, λουσάμενός τε καὶ νέαν καὶ καλὴν ἐσθῆτα



ἀμπεχόμενος, ἐπανῆλθεν. νῦν γε ἡ Πηνελόπεια ὅσον οὐκ ἐπείσθη. ἀλλ' ὁ Ὀδυσσεὺς τὰ τεκμήρια δείξας ἔπεισεν αὐτήν, σαφῶς τὸ πρᾶγμα φαίνων. τότε δὴ ἐκείνη πρὸς τὸν ἄνδρα ἐπειγομένη ἠσπάζετο αὐτὸν καταφιλοῦσα τὴν κεφαλὴν καὶ τὸ πρόσωπον καὶ δακρύουσα. ἐπὶ πολὺν χρόνον οὖν οὕτως ἐδάκρυον ὑπὸ χαρᾶς. τέλος δὲ ἑκάτερος διηγεῖτο πάντα ὅσα ἔπραξεν καὶ ἔπαθεν. καὶ τοῦ μὲν Ὀδυσσέως οὐ βραχὺς ἦν ὁ λόγος· πολλοὺς γὰρ ἄνδρας καὶ πολλὰ ἔργα ἑοράκει καὶ πολλὰ ἐκεκινδυνεύκει.

Ἐκεῖνος οὖν ἐδήλωσε τὸν πρὸς τοὺς Τρῶας πόλεμον καὶ τὸν ξύλινον ἵππον, δι' οὗπερ οἱ Ἕλληνες τὴν πόλιν ἐξεπολιόρκησαν. τοῦτον γὰρ ὁ Ὀδυσσεὺς αὐτὸς ἐξεῦρεν. καὶ ἐδήλωσε

τὰς πορείας καὶ κατὰ γῆν καὶ κατὰ θάλασσαν, καὶ τοὺς χειμῶνας καὶ τὰς ναυαγίας, καὶ τοὺς ἐχθροὺς ὅσοις ἐπέτυχεν, καὶ τοὺς φίλους ὅσοι πολλὰ εὐηργέτησαν αὐτόν. ἡ δὲ Πηνελόπεια αὖ διηγήσατο τοὺς πόνους καὶ τὰ κακὰ ὅσα ἔπαθεν, καὶ οἷα οἱ μνηστῆρες ἔπραξαν σφάζοντες τοὺς βοῦς καὶ τὰ πρόβατα καὶ τοὺς ὗς καὶ πίνοντες τὸν οἶνον. ἔπειτα δέ, νυκτὸς ἐπιγενομένης, καθηῦδον.

XXVI. Achilles and Agamemnon.

Οἱ Δαναοὶ ἤδη ἐννέα ἔτη πολιορκοῦντες τὴν τῶν Τρώων πόλιν κρατήσειν αὐτῆς ἤμελλον, ἔρις δέ τις ἀνέστη τῶν ἀνάκτων Ἀγαμέμνονός τε καὶ Ἀχιλλέως. οὗτος μὲν γὰρ ἄριστος ἦν, ἐκεῖνος δὲ στρατηγὸς παντὸς τοῦ στρατοῦ. ταῦτα δὲ οὕτως ἐγένετο. νόμος γὰρ ἦν τοῖς τὴν Τροίαν πολιορκοῦσι πέρσαι τὰς πόλεις τὰς φιλίας οὔσας τοῖς Τρωσίν. καταλαβόντες δέ ποτε Χρύσην, πόλιν ἱερὰν Ἀπόλλωνι, ἔχοντι ἐν αὐτῇ νεών τε καὶ ἱερέα, ἀφεῖλον ἐνθένδε Χρυσηίδα τὴν τοῦ ἱερέως θυγατέρα. ἐκείνην δὲ ὡς μέρος τῆς λείας ἔνειμαν τῷ Ἀγαμέμνονι.

Ὁ δὲ πατὴρ ταῦτα κακῶς φέρων προσῆλθε πρὸς τὸ τῶν Δαναῶν στρατόπεδον ὡς ἀπαιτήσων τὴν θυγατέρα. ὁ δὲ Ἀγαμέμνων ἀγανακτήσας



ἀπιέναι ἐκέλευσεν, μηδὲ αὖθις κατιέναι μὴ δεινὰ πάθοι· φοβούμενος δὲ ἐκεῖνος ὡς τάχιστα ἀπῆλθε καὶ πορευόμενος παρὰ τὴν τῆς θαλάσσης ἀκτὴν ηὔχετο τῷ Ἀπόλλωνι· ὁ δὲ θεὸς χαλεπῶς φέρων εἴ τις ἀδικεῖ τὸν ἱερέα ἀποκτείνει τοὺς Δαναοὺς τοῖς τοξεύμασιν. τῇ δὲ δεκάτῃ ἡμέρᾳ Ἀχιλλεῖ ἔδοξεν ἐρωτᾶν τί οὕτω πρὸς τὸν στρατὸν χαλεπαίνει Ἀπόλλων. Κάλχας δέ, μάντις ὢν ἄριστος, τοιάδε ἔλεξεν· χαλεπαίνει πρὸς ἡμᾶς ὁ Ἀπόλλων ὑπὲρ τοῦ ἱερέως, ὅς γε δεῦρο προσελθὼν ὡς τὴν θυγατέρα ἀπολυσόμενος ἄπρακτος ἀπιέναι ἠναγκάσθη.

Τότε δὴ ὁ Ἀγαμέμνων πολλῇ ὀργῇ ἐπαναστὰς ἀντεῖπεν, κακόμαντις εἶ, οὐδὲ οὐδέποτε περὶ ἐμοῦ ἀγαθὰ προφητεύεις. νῦν δὲ κελεύεις με ἀποδοῦναι ταύτην τὴν νύμφην· ἐθέλω γε, ἀλλὰ

φυλάσσεσθε, ὦ Δαναοί, μὴ ἀπολίπητε ἐμέ, τὸν τοῦ στρατοῦ ἄνακτα, ἄκληρον τῆς λείας. ὁ δὲ Ἀχιλλεύς, λίαν, ἔφη, φιλοκερδεῖς, ἀπόδος τὴν νύμφην, μηδὲ ἐπὶ λόγοις. ἀλλ᾽ ὁ μὲν Ἀγαμέμνων οὔ φησι ταῦτα ποιήσειν, ὁ δὲ Ἀχιλλεὺς θυμῷ μαινόμενος τὸ ξίφος μόνον οὐχ εἵλκυσεν, ἡ δὲ Ἀθήνη τῆς τριχὸς αὐτοῦ ἀψαμένη κατέχει.


Θαυμάζων δὲ καὶ περιστραφεὶς τὴν θεὸν αὐτὸς μὲν εἶδεν, οἱ δὲ ἄλλοι οὐκ εἶδον· ἰδὼν δὲ ἐπαύσατο τῆς ὀργῆς, εὖ εἰδὼς ὅτι δεῖ τοὺς ἀνθρώπους πείθεσθαι τοῖς θεοῖς.

XXVII. Rhesus.

Τοῖς Τρωσὶ πρὸς τοὺς Ἕλληνας μαχομένοις πολλοὶ ἦσαν οἱ ξύμμαχοι, καὶ ἐν τούτοις ἦσαν οἱ Θρᾷκες, ὧν τῷ βασιλεῖ ὄνομα Ῥῆσος ἦν. οὗτος οὖν ὁ Ῥῆσος ἵππους τινὰς εἶχε καλλίους καὶ θάσσους πάντων τῶν ἄλλων. χρησμολόγος δέ τις εἰρήκει ὅτι οἱ Ἕλληνες οὔποτε Τροίαν ἐκπολιορκήσουσιν ἢν ποτε οἱ τοῦ Ῥήσου ἵπποι τοῦ ὕδατος τοῦ ποταμοῦ Ξάνθου πίνωσιν. διὰ ταῦτα οὖν οἱ μὲν Τρῶες ἔπεισαν τοὺς Θρᾷκας ξυμπολεμεῖν. οἱ δὲ Ἕλληνες πυθόμενοι ὅσα ὁ χρησμολόγος εἴρηκεν ἐβουλεύοντο ὅπως τοὺς ἵππους φθάσαιεν καταλαβόντες πρὶν αὐτοὺς

ἀπὸ τοῦ ποταμοῦ πίνειν. βουλῆς οὖν τῶν ἡγεμόνων ξυλλεχθείσης ὁ Ἀγαμέμνων, ἄναξ ἀνδρῶν, τοιάδε ἔλεξεν.

Ὦ ἄνδρες καὶ ἥρωες τῶν Ἑλλήνων, τίς δῆτα ἐθέλει παρελθὼν διὰ τοῦ τῶν πολεμίων στρατοπέδου ἀπάγειν τοὺς ταχεῖς ἵππους τῶν Θρᾳκῶν; μέγας μέν ἐστιν ὁ κίνδυνος, μέγα δὲ τὸ κλέος τῷ εὐτυχοῦντι. καὶ μεγάλα καὶ πολυτελῆ δῶρα



αὐτῷ δώσω ἢν τοὺς ἵππους ἐνθάδε κομίζῃ. τότε δὲ ἀντεῖπε Διομήδης ὁ Τυδέως, αὐτὸς δὴ ἐλθὼν πρὸς τὰς τῶν Θρᾳκῶν σκηνὰς ταχέως ἀπάξω τούτους τοὺς ἐνδόξους ἵππους, ἤν γε ἄλλος τις ἀνὴρ ξυμπορεύσηταί μοι. τοῦ δὲ Ἀγαμέμνονος πεισθέντος εἵλετο Ὀδυσσέα ὡς ὄντα τὸν σοφώτατον πάντων τῶν Ἑλλήνων. καὶ ὁ Ὀδυσσεὺς ἐχάρη, ἐθέλων καὶ αὐτὸς ξυνκινδυνεύειν τῷ Διομήδει.

Νυκτὸς *δὲ γενομένης ὁ Διομήδης ὡπλισμένος*

ἐπορεύετο μετὰ τοῦ Ὀδυσσέως πρὸς τὰς τοῦ Ῥήσου σκηνάς, καὶ εὑρὼν ὅπου κεῖται ὁ Ῥῆσος ἔλαθεν ἐσελθὼν ἐς τὴν σκηνήν. ἐκεῖ δὲ εἶδον τοὺς ἵππους, καὶ τοὺς τῶν Θρᾳκῶν φρουροὺς καθεύδοντας. καὶ ὁ μὲν Ὀδυσσεὺς τοὺς ἵππους λάθρᾳ ξυλλαβὼν ἀπήγαγεν ἔξω, καὶ ἔμεινε τὸν φίλον. Διομήδης δὲ λαβὼν τὸ ξίφος ἀπέκτεινε τοὺς Θρᾷκας ὅσοι ἐν τῇ σκηνῇ καθηῦδον. καὶ Ῥῆσον αὐτὸν τρισκαιδέκατον διαφθείρας ἔφυγεν πρὸς τὰς τῶν Ἑλλήνων ναῦς. καὶ ὁ Ἀγαμέμνων, αὐτοὺς ἀσφαλεῖς κατελθόντας ἰδών, σφόδρα ἐχάρη.

XXVIII. Syracuse.

Τῶν ἐν Σικελίᾳ πόλεων ἡ μεγίστη Συράκουσαι ἦν. αὕτη δὲ ἡ πόλις ἐκτίσθη παρὰ τὴν θάλασσαν ὑπὸ τῶν Κορινθίων ἐν λιμένι μακρῷ καὶ καλλίστῳ. αἵ τε πολλαὶ τῶν ἐν τῇ νήσῳ πόλεων ᾠκίσθησαν ἀφ' Ἑλλάδος ἄλλαι ἄλλοθεν· καὶ οἱ μὲν Ἐγεσταῖοι ξύμμαχοι ἦσαν τῶν Ἀθηναίων, οἱ δὲ Συρακόσιοι, ὡς εἰκὸς ἦν, τῶν Κορινθίων. τούτοις οὖν πολέμου καθισταμένου, οἱ μὲν πρέσβεις πρὸς τοὺς Ἀθηναίους, οἱ δὲ πρὸς τοὺς Κορινθίους ἀπέστειλαν ἀξιοῦντας ἐπιβοηθεῖν. καὶ οἱ Κορίνθιοι ξυλλέξαντες στρατὸν οὐκ ὀλίγον αὐτῶν τε καὶ τῶν ξυμμά-

χων ἐπεβοήθησαν τοῖς Συρακοσίοις. τοῖς δὲ Ἀθηναίοις πολλὴ ἀπορία ἦν· ἤδη γὰρ αὐτοῖς πόλεμος ξυνεχὴς ἦν κατ' οἶκον πρὸς τοὺς Λακεδαιμονίους.

Ἀλλ' οἱ πρέσβεις ἔπεισαν αὐτοὺς ὥστε ξυμπολεμεῖν, ὑπισχνούμενοι πολλὰ χρήματα δώσειν. οἱ Ἀθηναῖοι οὖν πεισθέντες καὶ ἄπειροι ὄντες τοῦ μεγέθους τῆς νήσου καὶ τοῦ πλήθους τῶν ἐνοικούντων ἐψηφίσαντο πέμψαι στρατείαν. καὶ ἥδε ἡ στρατεία μεγίστη ἦν πασῶν τῶν προτέρων καὶ ναυσὶ καὶ ὁπλίταις καὶ τῶν ξυμμάχων ἀκοντισταῖς καὶ σφενδονήταις. ἀπέπλευσαν οὖν οἱ Ἀθηναῖοι ἐπὶ Σικελίαν ἀλλὰ πρῶτον μὲν οὐκ ηὐτύχουν. καὶ τοῦ ἐπιόντος χειμῶνος μετεπέμψατο Νικίας ὁ στρατηγὸς αὐτῶν ἄλλον στρατὸν καὶ χρήματα ἐπὶ τοῖς ἤδη μεθ' ἑαυτοῦ. καὶ οἱ Ἀθηναῖοι ξυνέλεξαν ὁπλίτας καὶ ναῦς ὡς πλείστους ἐδύναντο καὶ ἔπεμψαν ἐς Σικελίαν.

Τὸ δὲ τείχισμα τῶν Συρακουσῶν ἰσχυρὸν ἦν καὶ οὐδαμῶς ἐδύναντο οἱ Ἀθηναῖοι ἐκπολιορκεῖν τὴν πόλιν. καὶ ἐν πολλαῖς μάχαις καὶ κατὰ γῆν καὶ κατὰ θάλασσαν ἐνίκησαν οἱ πολέμιοι, καὶ τέλος τὰς πλείστας τῶν νεῶν τῶν Ἀθηναίων διέφθειραν. τότε δὴ οἱ Ἀθηναῖοι ἐπορεύοντο ἐς τὴν μεσογείαν, ἀλλ' οὐδὲ οὕτως διέφευγον. οἱ γὰρ Συρακόσιοι, διώξαντες


καὶ καταλαβόντες αὐτούς, τοὺς μὲν ἀπέκτειναν τοὺς δὲ ἐζώγρησαν. οὕτως ὅσον οὐ πᾶσαν τὴν στρατείαν διέφθειραν, ὀλίγων μόνον διαφευγόντων. ἐδούλωσάν τε τοὺς ξυλληφθέντας ἐς ἑπτακισχιλίους, καὶ Νικίαν καὶ Δημοσθένην τοὺς στρατηγοὺς ἀπέσφαξαν.

XXIX. Alcibiades.

Ἀλκιβιάδης ὁ Κλεινίου πλουσιώτατος μὲν καὶ κάλλιστος ἦν, ἀκόλαστος δὲ καὶ ἀσεβής. καὶ Σωκράτης ὁ φιλόσοφος, φίλος ὢν τοῦ νεανίου, ἐπαίδευσεν αὐτὸν καὶ πολλάκις ἔπαυσε τῆς ἀκολασίας. ὁ δὲ Ἀλκιβιάδης, μειράκιον ἔτι ὤν, ἐστρατεύσατο ἐς Ποτίδαιαν ἔχων τὸν Σωκράτη ξύσκηνόν τε καὶ παραστάτην ἐν τῇ μάχῃ. καὶ τῆς μάχης ἰσχυρᾶς γενομένης καὶ τοῦ Ἀλκιβίαδου τραυματισθέντος, ὁ Σωκράτης ἤμυνε καὶ ἔσωσεν αὐτόν· ὕστερον δὲ ἐν τῇ ἐν Δηλίῳ μάχῃ, τῶν Ἀθηναίων φευγόντων καὶ τοῦ Σωκράτους πεζῇ ἀποχωροῦντος, ὁ Ἀλκιβιάδης ἵππον ἔχων ἔσωσεν αὐτὸν τῶν πολεμίων ἰσχυρῶς ἐπικειμένων.

Ἐνῆγε δὲ ὁ Ἀλκιβιάδης προθυμότατα τὴν ἐπὶ Συρακούσας στρατείαν, στρατηγῆσαί τε ἐπιθυμῶν καὶ ἐλπίζων χρήματα καὶ δόξαν φέρεσθαι. καὶ δὴ πρῶτον μὲν ἐστρατήγει

τῆς στρατείας. ἔπειτα δὲ οἱ Ἀθηναῖοι μετανοήσαντες ἔπεμψαν τὴν Σαλαμινίαν ναῦν ἐς τὴν Σικελίαν ὡς αὐτὸν ἀνοίσουσαν. οἱ γὰρ ἐχθροὶ οἱ ἐν τῇ πόλει κατηγόρουν αὐτοῦ, λέγοντες ὅτι τὰ πρόσωπα τῶν λιθίνων Ἑρμῶν περιέκοψεν. (πολλοὶ γὰρ ἦσαν Ἑρμαῖ καὶ ἐν



ἰδίοις προθύροις καὶ ἐν ἱεροῖς, καὶ μιᾷ νυκτὶ οἱ πλεῖστοι περιεκόπησαν τὰ πρόσωπα.) ἐπειδὴ δὲ ἡ Σαλαμινία ἐγένετο ἐν Θουρίοις ὁ Ἀλκιβιάδης ἔφυγεν, καὶ οὐ πολὺ ὕστερον ἐπὶ πλοίου ἐπεραιώθη ἐς Πελοπόννησον· καὶ οἱ Ἀθηναῖοι ἐρήμῃ δίκῃ θάνατον κατέγνωσαν αὐτοῦ.

Καὶ ὑπὸ τῶν Λακεδαιμονίων φιλανθρώπως δεδεγμένος καὶ παντοίῳ τρόπῳ τετιμημένος κακῶς


ἔπρασσε τοὺς Ἀθηναίους ὅτι μάλιστα ἐδύνατο. παρεκελεύσατο γὰρ τοῖς Λακεδαιμονίοις, λέγων ὅτι χρὴ ἄλλον τε ἔτι στρατὸν ἐς τὴν Σικελίαν ἵνα τοῖς Συρακοσίοις ἐπιβοηθοῖ πέμψαι, καὶ τὸν ἐν Ἑλλάδι πρὸς τοὺς Ἀθηναίους πόλεμον προθυμότερον κινῆσαι, καὶ μάλιστα τειχίσαι Δεκέλειαν τῆς Ἀττικῆς, ὅπερ οἱ Ἀθηναῖοι ἀεὶ ἐφοβοῦντο· βεβαιότατα γὰρ ἄν τινα οὕτως αὐτοὺς βλάπτειν. οὐκέτι γὰρ τὴν πατρίδα ἐφίλει ἀλλ' ἑαυτὸν μόνον. ἐν δὲ τούτῳ τῷ τρόπῳ αἱ Ἀθῆναι πολλὰ κακὰ ὑπὸ τοῦ Ἀλκιβιάδου ἔπαθον καὶ ὅσον οὐ διεφθάρησαν.

XXX. Philoctetes.

Τοῦ μεγάλου τῶν Ἑλλήνων πρὸς τοὺς Τρῶας πολέμου καταστάντος, Φιλοκτήτης ὁ Ποίαντος ὥρμησεν ἔχων ἑπτὰ ναῦς, καὶ φέρων τὸ τόξον καὶ τοὺς ὀϊστοὺς τοῦ Ἡρακλέους. περὶ δὲ τούτων τῶν θαυμαστῶν ὅπλων, ὅπως ἐκτήσατο αὐτά, τοιάδε λέγεται. ὁ γὰρ Ἡρακλῆς νῦν θανούμενος ἐποιήσατο πυρὰν καὶ ἐκάθιζεν ἐπὶ ταύτην, καὶ ἐκέλευσε τὸν υἱὸν Ὕλλον ἅψαι. ἐκεῖνος δὲ οὐκ ἤθελεν. ἐνταῦθα δὲ φοβούμενος μὴ οὐ ταχέως κατακαυθῇ—πολλὴν γὰρ λύπην ἔπασχεν—ὁ Ἡρακλῆς ᾔτησε παρὰ Φιλοκτήτου

τὴν πυρὰν ἅψαι, ὑπισχνούμενος δώσειν αὐτῷ τὸ τόξον καὶ τοὺς ὀϊστοὺς τοῦ Ἀπόλλωνος, ἣν ταῦτα ποιήσῃ. τοῦτο οὖν πράξας ὁ Φιλοκτήτης ἐδέξατο τὰ ὅπλα.

Καὶ ὁ στόλος τῶν Ἑλλήνων καθωρμίσθη ἐς τὴν Χρύσην νῆσον ἵνα θύοιεν τῇ ἐκεῖ θεῷ. καὶ ἐν ᾧ οἱ ἥρωες θύουσιν, ἔχις ἐκ τοῦ βωμοῦ ἐλθὼν τὸν τοῦ Φιλοκτήτου πόδα ἔδακεν. τότε δὲ μεγάλῃ φωνῇ ἐβόησε δεινῶς, τραυματισθείς. καὶ οἱ ἄλλοι Ἕλληνες κομίσαντες αὐτὸν πρὸς



τὴν Λῆμνον νῆσον πλησίον οὖσαν κατέλιπον ἐνταῦθα, καὶ ἀπέπλευσαν πρὸς Τροίαν. πολὺν δὲ χρόνον μαχεσάμενοι ἄπρακτοι ἦσαν. τέλος δὲ ἐν τῷ τοῦ πολέμου δεκάτῳ ἔτει οἱ Ἕλληνες ἐβουλεύσαντο ἐρωτᾶν μάντιν τινὰ ὅπως ἐκπολιορκήσουσι τὴν πόλιν. ἐκεῖνος οὖν ἀντεῖπεν ὅτι οἱ Ἕλληνες οὔποτε Τροίαν πέρσουσιν ἕως ἂν

κομίζωσι τὸν Φιλοκτήτην καὶ τὰ ὅπλα τοῦ Ἡρα*κλέους ἐπὶ τὴν πόλιν.*

Ταῦτα *δὲ μαθόντες εὐθὺς ἔπεμψαν τὸν* Ὀδυσσέα *καὶ* Νεοπτόλεμον *τὸν τοῦ* Ἀχιλλέως *υἱὸν πρὸς* Λῆμνον *μετὰ τὸν* Φιλοκτήτην. *ηὗρον δὲ τὸν* Φιλοκτήτην *δεῖνα πάσχοντα καὶ μάλιστα ἀγανακτοῦντα ὅτι οἱ* Ἕλληνες *αὐτὸν ἔνθα λελοίπασιν. πρῶτον μὲν οὖν οὐκ ἔφη μετ' αὐτῶν ἰέναι. ἔπειτα δέ, ἐν ᾧ ὁ δυστυχὴς ἀνὴρ ὅσον οὐκ ἐλιποψύχει διὰ λύπην, ὁ* Ὀδυσσεὺς *κατέλαβε τὸ τόξον καὶ τοὺς ὀϊστούς. καὶ ὁ* Φιλοκτήτης, *φοβούμενος μὴ στερηθῇ τῶν ὅπλων, ἄκων ἕσπετο τοῖς ἄλλοις, καὶ ἐμβὰς ἐπὶ τὴν ναῦν ἀπέπλευσε πρὸς* Τροίαν. *ἐκεῖ δὲ ἰαθεὶς τὸν πόδα ἐμαχέσατο πρὸς* Πάριν *τὸν* Πριάμου, *καὶ ἀποκτείνας αὐτὸν τοῖς ὀϊστοῖς ἔπαυσε τὸν πόλεμον.*

XXXI. Marathon.

Οἱ Πέρσαι *ἤδη ἐπενοοῦντο ἐς τὴν* Ἑλλάδα *ἐσβαλεῖν ἵνα τοὺς* Ἀθηναίους *ζημιοῖεν. οἱ γὰρ* Ἀθηναῖοι *οὐ πολλῷ πρότερον καταλαβόντες* Σάρδεις *τὴν τῶν* Περσῶν *μητρόπολιν κατέκαυσαν αὐτήν.* Δαρεῖος *οὖν ὁ βασιλεὺς μεγάλην στρατιὰν καὶ ναυτικὴν καὶ πεζὴν ξυλλέξας ἀπέπεμψεν ἐς* Ἑλλάδα Δάτιδος *καὶ* Ἀρταφέρνους

στρατηγούντων. μετὰ δὲ ταῦτα ἀπέπλευσεν Ἱππίας τις πάλαι φυγὰς ἐξ Ἀθηνῶν ὤν, ὃς τιμωρίαν τινὰ ἐπὶ τοῖς πολίταις λαβεῖν ἤθελεν. οὗτος οὖν ὁ ἀνὴρ ἡγήσατο τῆς στρατιᾶς καὶ ἦγεν τὰς ναῦς πρὸς Εὔβοιαν, νῆσόν τινα μακρὰν τῇ Ἀττικῇ γῇ προσκειμένην. ἐντεῦθεν οὐ πολλῷ ὕστερον διέβησαν ἐς Μαραθῶνα.



Ἀκούσαντες δὲ ταῦτα οἱ Ἀθηναῖοι, ξυλλέξαντες μυρίους τῶν ἑαυτῶν ὁπλίτας καὶ χιλίους τῶν Πλαταιέων, οἱ γὰρ Πλαταιεῖς μόνοι τῶν ξυμμάχων αὐτοῖς ἐπεβοήθουν, ἐς Μαραθῶνα ἀφίκοντο. καὶ Μιλτιάδῃ τῷ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἡγουμένῳ ἔδοξεν εὐθὺς μάχεσθαι. τῶν σφαγίων οὖν καλῶν γενομένων, δρόμῳ ἵεντο ἐπὶ τοὺς βαρβάρους. ἀπέσχον δὲ σταδίους ὀκτὼ τῶν ἐναντίων. οἱ δὲ Πέρσαι ὁρῶντες αὐτοὺς δρόμῳ ἐπιόντας παρεσκευάζοντο ὡς δεξόμενοι. καὶ σφόδρα ἐθαύμαζον πυνθανόμενοι αὐτοὺς ὀλίγους ὄντας καὶ δρόμῳ ἐπειγομένους, οὔτε ἵππου ὑπαρχούσης αὐτοῖς οὔτε τοξοτῶν. οἱ δὲ Ἀθηναῖοι, ἐπεὶ

ἀθρόοι προσέμιξαν τοῖς βαρβάροις, ἀξίως λόγου ἐμαχέσαντο.

Πολὺν δὴ χρόνον ἐμάχοντο, οἱ μὲν γὰρ Πέρσαι τὸ μέσον τοῦ στρατεύματος ἀσθενὲς ὂν ἐνίκων, οἱ δὲ Ἀθηναῖοι καὶ οἱ ξύμμαχοι αὐτῶν καθ' ἑκάτερον τὸ κέρας ἐνίκων. καὶ ξυναγαγόντες τὰ κέρατα διέρρηξαν τὸ τῶν βαρβάρων μέσον καὶ ἐς φυγὴν κατέστησαν. καὶ διώκοντες τοὺς πολεμίους ἐπὶ τὴν θάλασσαν, τῶν νεῶν τὰς μὲν ἅπτουσι τὰς δὲ καταλαμβάνουσιν. αἱ δὲ πολλαὶ ἀπέπλευσαν ἐπὶ τὰς Ἀθήνας βουλόμεναι φθάνειν τοὺς Ἀθηναίους ἀφικόμεναι ἐς τὴν πόλιν. οἱ δὲ Ἀθηναῖοι ὡς τάχιστα πορευθέντες ἀφίκοντο ἐς τὴν πόλιν πρὶν τοὺς Πέρσας ἥκειν. ἐκεῖνοι δὲ εὐθὺς πρὸς τὴν Ἀσίαν ἀπέπλευσαν. ἐν δὲ τῇ μάχῃ τῶν μὲν Περσῶν ἑξακισχίλιοι καὶ τετρακόσιοι, τῶν δὲ Ἀθηναίων ἑκατὸν καὶ ἐνενήκοντα ἀπέθανον.

XXXII. Salamis.

Τῷ δὲ δεκάτῳ ἔτει μετὰ τὴν ἐν Μαραθῶνι μάχην, ἄλλη μάχη Μήδων πρὸς Ἀθηναίους ἐγένετο. ὁ γὰρ Ξέρξης ἐσβαλὼν ἐς τὴν Ἑλλάδα καὶ καταλαβὼν τὰς Ἀθήνας ἐνέπρησε τὴν πόλιν. οἱ γὰρ Ἀθηναῖοι, αἰσθόμενοι οὐ δυνατοὶ ὄντες τοὺς πολεμίους κατὰ γῆν νικᾶν,

ἐς τὰς ναῦς ἐσέβησαν, ἵνα τοῖς Πέρσαις κατὰ θάλασσαν ἀπομάχοιντο. ταῖς γὰρ ναυσὶν ἤλπιζον αὐτοὶ ἰσχυρότεροι ἔσεσθαι. οἱ οὖν Ἕλληνες τὸ ναυτικὸν ἐν τῷ Σαλαμῖνος κόλπῳ παρεσκεύασαν ὡς ἐπὶ ναυμαχίαν ξυλλέξαντες ὀγδοήκοντα καὶ τριακοσίας ναῦς, ὧν ὀγδοήκοντα καὶ ἑκατὸν Ἀθηναῖαι ἦσαν. τοῖς δὲ Πέρσαις οὐκ ἐλάσσους ἢ χίλιαι ἦσαν.

Ὁ δὲ Ξέρξης, πολλοὺς γραμματέας περὶ ἑαυτοῦ ἔχων ἵνα τὰ ὀνόματα τῶν καλῶς καὶ ἀνδρείως μαχομένων γράφοιεν, ἐκαθέζετο ἐπὶ χρυσῷ θρόνῳ ἐπὶ τῷ κρημνῷ τῷ τῆς θαλάσσης ὑπερέχοντι. τῆς μάχης οὖν γενομένης πρῶτον μὲν οὐδέτεροι κρείσσους ὄντες ἐφαίνοντο. τέλος δὲ οἱ Πέρσαι ἀνεκρούοντο καί, πολλοὺς νεκροὺς λιπόντες, ἐπὶ τῆς ἠπείρου ἀπέπλευσαν. τῶν μὲν οὖν Περσικῶν νεῶν διακόσιαι διεφθάρησαν ἢ ὀκείλασαι ἢ τοῖς τῶν Ἑλληνικῶν νεῶν ἐμβόλοις ῥαγεῖσαι. οἱ δὲ Ἕλληνες τεσσαράκοντα μόνον ἀπώλεσαν καὶ τῶν ἐπιβατῶν οἱ πλεῖστοι νεῖν ἐπιστάμενοι ἐσώθησαν.

Τῶν Ἑλλήνων οὖν νικησάντων, ὁ Ξέρξης ἀνεχώρησεν ἐπὶ τὴν ἑαυτοῦ γῆν μετὰ τοῦ πλείστου τοῦ στρατεύματος. καὶ κατὰ τὴν ὁδὸν πολλοὶ λιμῷ τε καὶ νόσῳ ἀπέθανον. τὸ δὲ ναυτικὸν οἴκαδε ἀπέπλευσεν, καί, πρὸς τὸν Ἑλλήσποντον ἐπειγόμενον, ἔμεινεν ἐκεῖ τὸ πεζόν.

τούτους δὲ ἀφικομένους μετὰ πολὺν χρόνον διεβίβασεν ὁ Ξέρξης ταῖς ναυσὶν ἐς Ἄβυδον, καὶ ἔνθεν ἐς Σάρδεις ἐπανῆλθεν. ὁ δὲ Ξέρξης κατέλιπε Μαρδόνιον ἔχοντα τριάκοντα μυριάδας στρατιωτῶν ὥστε τὴν Ἀττικὴν γῆν δῃοῦν. τοῦτο μὲν δὴ ἐποίησε καὶ τὴν πόλιν αὐτὴν πάλιν κατέλαβεν, διαφθείρων τὰς οἰκίας καὶ τὰ ἱερὰ ὅσα ἐν τῷ προτέρῳ ἔτει μὴ διεφθάρη.

VOCABULARY

Ἄβυδος, -ου, (ἡ), Abydos, a town on the coast of Asia Minor.

ἀγαθός, -ή, -όν, good.

ἄγαλμα, -ατος, (τό), a statue.

Ἀγαμέμνων, -ονος, (ὁ), Agamemnon, king of Mycenae.

ἀγανακτέω, *aor.* 1 ἠγανάκτησα, I am grieved, angry.

ἀγγέλλω, *f.* ἀγγελῶ, *aor.* 1 ἤγγειλα, *pf.* ἤγγελκα, I announce, report.

ἄγγελος, -ου, (ὁ), a messenger.

ἀγείρω, I bring together, collect.

ἀγνοέω, I do not know, I am ignorant of.

ἄγριος, -α, -ον, wild, fierce.

ἀγρός, -οῦ, (ὁ), a field.

ἄγω, *f.* ἄξω, *aor.* 2 ἤγαγον, *pf.* ἦχα, I lead, celebrate: εἰρήνην ἄγω, I am at peace.

ἀγών, -ῶνος, (ὁ), a gathering, an assembly, a contest.

ἀγωνίζομαι, *f.* -ιοῦμαι, I contend.

ἀδελφή, -ῆς, (ἡ), a sister.

ἀδελφιδοῦς, -οῦ, (ὁ), a nephew.

ἀδελφός, -οῦ, (ὁ), a brother.

ἀδικέω, *intr.* I am wrong, do wrong: *tr.* I do wrong to, injure.

ἄδικος, -ος, -ον, unjust.

ἀδίκως, wrongly, unjustly.

Ἄδμητος, -ου, (ὁ), Admetus, husband of Alcestis.

ἀδύνατος, -ος, -ον, unable, impossible.

ᾄδω, I sing.

ἀεί, ever, always, from time to time.

ἀετός, -οῦ, (ὁ), an eagle.

ἀήρ, ἀέρος, (ὁ), the air.

ἀθάνατος, -ος, -ον, undying, immortal.

Ἀθῆναι, -ῶν, (αἱ), Athens.

Ἀθηναῖος, -α, -ον, Athenian.

Ἀθήνη, -ης, (ἡ), Athene, the goddess whom the Romans called Minerva.

ἆθλον, -ου, (τό), a prize, contest, game.

ἀθροίζω, I gather together, collect, muster.

ἀθρόος, -α, -ον, in crowds, in a body.

ἀθυμέω, I am disheartened, despond.

Αἴας, -αντος, (ὁ), Ajax, son of Telamon.

Αἰγεύς, -έως, (ὁ), Aegeus, king of Athens, father of Theseus.

Αἴγισθος, -ου, (ὁ), Aegisthus, king of Argos.

Ἅιδης, -ου, (ὁ), Hades, the lower world.

αἰθήρ, -έρος, (ὁ), the upper air, the sky.

Αἰθιοπία, -ας, (ἡ), Ethiopia, part of Africa south of Egypt.

αἴθω, I kindle: *pass.* I burn.

Αἰνείας, -ου, (ὁ), Aeneas, a Trojan prince, son-in-law of Priam king of Troy.

αἴξ, *αἰγός*, (ὁ and ἡ), a goat.

Αἴολος, -ου, (ὁ), Aeolus, the god of the winds.

αἱρέω, *aor.* 2 *εἷλον*, I take, seize: *mid.* I take for myself, choose.

αἴρω, *aor.* 1 *ἦρα*, *aor.* 1 *mid.* *ἠράμην*, I raise.

αἰσθάνομαι, *f.* *αἰσθήσομαι*, *aor.* 2 *ᾐσθόμην* (*part.* *αἰσθόμενος*), I perceive, understand, learn.

Αἰσχύλος, -ου, (ὁ), Aeschylus, a Greek tragedian.

Αἴσων, -ονος, (ὁ), Aeson, father of Jason.

αἰτέω, *aor.* 1 *ᾔτησα*, I ask.

αἰτία, -ας, (ἡ), accusation, cause.

Αἰτωλία, -ας, (ἡ), Aetolia.

αἰχμαλωτίς, -ίδος, (ἡ), a female captive.

ἄκληρος, -ος, -ον, poor: *with gen.* without a share in.

ἀκολασία, -ας, (ἡ), intemperance, excess.

ἀκόλαστος, -ος, -ον, intemperate, unbridled.

ἀκολουθέω, I follow (*with dat. of person*).

ἀκονάω, *f.* -ήσω, I sharpen.

ἀκοντίζω, I hurl a javelin.

ἀκοντιστής, -οῦ, (ὁ), a javelin thrower.

ἀκούω, *f.* *ἀκούσομαι*, *aor.* 1 *ἤκουσα*, *pf.* *ἀκήκοα*, I hear (*with gen. of object*).

Ἀκρόπολις, -εως, (ἡ), the Acropolis, the citadel of Athens.

ἀκτή, -ῆς, (ἡ), shore.

ἄκων, -ουσα, -ον, unwilling.

Ἀλεξάνδρεια, -ας, (ἡ), Alexandria, a town on the north coast of Africa.

Ἀλέξανδρος, -ου, (ὁ), (1) Alexander, king of Macedon; (2) Paris, son of Priam king of Troy.

ἀληθῶς, truly.

ἁλιεύς, -έως, (ὁ), a fisherman.

ἁλίσκομαι, *f.* *ἁλώσομαι*, *aor.* 2 *ἑάλων*, *pf.* *ἑάλωκα*, I am taken, am caught.

Ἄλκηστις, -ιδος or -ιος, (ἡ), Alcestis, wife of Admetus.

Ἀλκιβιάδης, -ου, (ὁ), Alcibiades.

Ἀλκμήνη, -ης, (ἡ), Alcmene.

ἀλλά, but.

ἀλλήλους, -ας, -α, (*acc. pl. no nom.*) one another.

ἄλλοθεν, from another place: ἄλλος ἄλλοθεν, one from one place and another from another.

ἄλλος, -η, -ο, another, other, else: ὁ ἄλλος, the other, οἱ ἄλλοι, the rest, ἄλλοι μὲν . . . ἄλλοι δέ, some . . . others.

ἄλλοτε, at another time: ἄλλοτε . . . ἄλλοτε, at one time . . . at another.

ἄλλως, otherwise, in vain.

ἄλσος, -ους, (τό), a grove.

ἅμα, at the same time: *with dat.* together with.

Ἀμαζών, -όνος, (ἡ), an Amazon, a nation of women living in Cappadocia.

ἅμαξα, -ης, (ἡ), a wagon.

ἁμαρτάνω, *f.* ἁμαρτήσομαι, *aor.* 2 ἥμαρτον, *pf.* ἡμάρτηκα, I miss (*with gen. of object*), I fail.

ἀμήχανος, -ος, -ον, helpless, impossible.

ἅμιλλα, -ης, (ἡ), a contest, conflict.

ἁμιλλαόμαι, I compete, contend with (*with dat. of person*).

ἅμμα, -ατος, (τό), knot.

ἀμπ-έχω, I cover: *mid.* I put on, wear.

ἀμύνω, I keep off, defend: *mid.* I defend myself from.

ἀμφι-έννυμι, *f.* ἀμφι-ῶ, *aor.* 1 ἠμφί-εσα, *aor. part. pass.* ἀμφι-εσθείς, *pf. part. pass.* ἠμφι-εσμένος, I put on, clothe.

ἀμφι-καλύπτω, I enwrap, veil, enfold: *pf. part. pass.* -κεκαλυμμένος.

Ἀμφίων, -ονος, (ὁ), Amphion, son of Jupiter and Antiope.

ἀμφότερος, -α, -ον, each of two, both.

ἀμφοτέρωθεν, on both sides.

ἄν, *particle which has no exact equivalent in English.*

ἀνά, *prep. with acc.* up, along.

ἀνα-βαίνω, I go up, embark.

ἀνα-βιβάζω, I cause to go up, cause to mount.

ἀναγκάζω, *f.* -άσω, I force, compel.

ἀνα-γνωρίζω, I recognize: *aor.* 1 ἀν-ε-γνώρισα.

ἀν-άγω, I lead up, bring up: *mid.* I put to sea.

ἀναιδῶς, shamelessly.

ἀνα-κομίζω, I bring back.

ἀνα-κρούω, I push back: *mid.* I back water.

ἀνα-μιμνήσκω, *f.* -μνήσω, *aor.* 1 -έμνησα, I remind.

ἄναξ, -κτος, (ὁ), a king.

ἀνα-πείθω, *aor. part. pass.* ἀναπεισθείς, I bring over, convince, persuade.

ἀνα-πέτομαι, *f.* -πτήσομαι, *aor.* -επτάμην *or* -επτόμην, I fly up, fly away.

ἀν-αρπάζω, *aor.* 1 ἀν-ήρπασα, I seize.

ἀνα-στρέφω, I turn back.

ἀνα-τίθημι, I set up, dedicate.

ἀνα-φέρω, *f.* -οίσω, I bring up, bring back: *pass.* rise.

ἀνα-χωρέω, I go back, return, retire.

ἀνδραποδίζω, I enslave.

ἀνδρεία, -ας, (ἡ), manliness, courage.

ἀνδρεῖος, -α, -ον, manly, brave.

ἀνδρείως, bravely.

Ἀνδρομάχη, -ης, (ἡ), Andromache, wife of Hector.

Ἀνδρομέδα, -ης, (ἡ), Andromeda, daughter of Cepheus king of Aethiopia.

ἀν-έβη, *aor. indic. of* ἀναβαίνω.

ἄνεμος, -ου, (ὁ), the wind.

ἀν-έ-πταντο, *see* ἀνα-πέτομαι.

ἀν-έρχομαι, I come up, go up, return.

ἀν-έχω, I hold up: *mid.* I endure, suffer.

ἀνήρ, ἀνδρός, (ὁ), a man, husband.

ἀνθ-ίστημι, *trans.* I set against: *intrans.* I resist.

ἄνθρωπος, -ου, (ὁ), a man.

ἀν-ίστημι, *trans.* I set up again, restore: *intrans.* I rise up, arise. *See* ἵστημι.

ἀν-οίγνυμι, *f.* -οίξω, *aor.* 1 -έῳξα, *pf.* -έῳχα, I open.

ἀν-οίσουσα, *see* ἀνα-φέρω.

ἀντ-αγωνίζομαι, I struggle against, contend with, *with dat.*

ἀντ-εἶπον, *no pres.* I answered.

ἀντ-εισ-άγω, I substitute, bring instead.

ἀντ-έχω, *with dat.* I withstand: *intr.* I endure.

ἀντί, *prep. with gen.* opposite, instead of.

ἀντι-καθ-έζομαι, I lie opposite.

ἀντι-καθ-ίστημι, I set against, draw up opposite.

ἀντι-λαμβάνω, I receive instead, get in return.

Ἀντίνοος, -ου, (ὁ), Antinous.

Ἀντιόπη, -ης, (ἡ), Antiope, daughter of Nycteus king of Thebes.

ἀντίπαλος, -ος, -ον, nearly-balanced, equally-matched,

undecided: ἐς ἀντίπαλον καταστῆναι, to be undecided.
ἀντι-τάσσω, I set opposite to, range in battle against.
ἀντι-τυγχάνω, I meet with in return.
ἄντρον, -ου, (τό), a cave.
ἀντωμοσία, -ας, (ἡ), an indictment.
Ἄνυτος, -ου, (ὁ), Anytus.
ἄνω, upwards, up.
ἀξίνη, -ης, (ἡ), an axe.
ἄξιος, -α, -ον, worthy, worth.
ἀξιόχρεως, -ων, noteworthy, notable.
ἀξιόω, I think worthy, demand, ask, claim.
ἀξίως, worthily: ἀξίως λόγου, in a manner worthy of praise.
ἀπ-άγω, I lead away, carry off.
ἀπ-αιτέω, *aor.* 1 ἀπ-ῄτησα, I demand back, beg.
ἀπ-έ-θανεν, *see* ἀπο-θνήσκω.
ἄπ-ειμι, I am absent, I am far from (*from* εἰμί, I am).
ἄπ-ειμι, I go away, depart (*from* εἶμι, I will go).
ἄπειρος, -ος, -ον, ignorant of, unacquainted with.
ἀπ-έ-πλευσαν, *see* ἀπο-πλέω.
ἀπ-έρχομαι, *aor.* -ῆλθον, I go away, depart.
ἀπέχθεια, -ας, (ἡ), hatred.
ἀπ-έχω, I keep off, am distant from.
ἀπ-ῆλθον, *see* ἀπ-έρχομαι.
ἀπ-ήνεγκον, *see* ἀπο-φέρω.
ἀπ-ῄτησα, *see* ἀπ-αιτέω.
ἀπιστέω, I disbelieve, distrust, (*with dat. of person*): *aor.* 1 ἠπίστησα.
ἀπό, *prep. with gen.* from, after.
ἀπο-βαίνω, I go away, turn out.
ἀπο-δείκνυμι, I point out.
ἀπο-δέχομαι, I accept, receive.
ἀπο-δημέω, I am abroad, I go abroad.
ἀπο-δίδωμι, I give up, restore, present.
ἀπο-δραμόντες, *see* ἀπο-τρέχω.
ἀπο-θνήσκω, *aor.* ἀπ-έ-θανον, I die.
ἀπ-οίχομαι, I am gone away, have departed: *aor.* ἀπ-ῳχόμην.
ἀπο-καλύπτω, I uncover, disclose.
ἀπο-κομίζω, I carry away, take away.
ἀπο-κόπτω, *aor.* 1 ἀπ-έ-κοψα, I cut off.
ἀπο-κρίνομαι, I answer.
ἀπο-κρύπτω, *f.* -ψω, *aor.* 1 ἀπ-έ-κρυψα, I hide away.
ἀπο-κτείνω, *f.* -κτενῶ, *aor.* 1 -έκτεινα, *aor.* 2 -έκτανον, I kill.
ἀπο-κωλύω, I hinder, prevent.
ἀπο-λείπω, I leave behind, abandon.

ἀπ-όλλυμι, *f.* -ολῶ, *aor.* 1 -ώλεσα, *pf.* -ολώλεκα, I lose, destroy: *mid.* am destroyed, perish.

ἀπο-λύω, *aor. pass.* ἀπ-ελύθην, I acquit, set free, release.

Ἀπόλλων, -ωνος, (ὁ), Apollo, god of music, the bow, &c.

ἀπο-λογέομαι, I speak in defence, defend myself.

ἀπο-λύω, I set free from, release.

ἀπο-μάχομαι, I drive off.

ἀπο-νέμω, I assign.

ἀπο-πέμπω, I send away, dispatch.

ἀπο-πλέω, *aor.* 1 ἀπ-έ-πλευσα, I sail away.

ἀπορέω, I am at a loss, am in doubt: *impf.* ἠπόρουν.

ἀπορία, -ας, (ἡ), difficulty, doubt, want.

ἀπο-ρ-ρέω, *fut.* -ρυήσομαι, *aor.* -ερρύην, I flow off, run off.

ἀπο-ρ-ρίπτω, I throw away: *aor. part.* ἀπο-ρ-ρίψας.

ἀπο-στέλλω, *aor.* 1 ἀπ-έ-στειλα, I send off, send away.

ἀπο-σφάζω, I slay.

ἀπο-τέμνω, I cut off: *aor.* ἀπ-έ-τεμον.

ἀπο-τρέχω, *aor. part.* ἀπο-δραμών, I run away.

ἀπο-φαίνω, I show forth, declare, prove.

ἀπο-φέρω, *aor.* 2 ἀπ-ήνεγκον, I carry off.

ἀπο-φεύγω, I flee from, escape: *aor.* ἀπ-έ-φυγον.

ἀπο-χωρέω, I go away, retire, retreat.

ἄπρακτος, -ος, -ον, unsuccessful.

ἅπτω, I touch, set on fire, kindle: *mid.* I take hold of.

ἀπ-ωθέω, I thrust away.

ἀπώλετο, *aor. mid. of* ἀπόλλυμι.

ἆρα, *interrog. particle asking a surprised question,* can it be that.

Ἀργοναύτης, -ου, (ὁ), an Argonaut, one who sailed in the ship Argo.

Ἄργος, -ους, (τό), Argos (a town).

Ἄργος, -ου, (ὁ), Argos (a dog).

Ἄρειος, -α, -ον, devoted to Ares, of Ares.

Ἄρης, -εως, (ὁ), Ares, the god of War.

ἀριστερός, -ά, -όν, left: ἡ ἀριστερά, the left hand.

ἄριστος, -η, -ον, best.

Ἀριστοφάνης, -ους, (ὁ), Aristophanes, a Greek comedian.

ἀρκέω, *f.* ἀρκέσω, *aor.* 1 ἤρκεσα, I am sufficient, I suffice.

ἄρκτος -ου, (ἡ), the bear, the north.

ἅρμα, -ατος, (τό), a chariot.

ἅρπαξ, -αγος, (ὁ), a robber.

Ἀρταφέρνης, -ου, (ὁ), Artaphernes, a Persian general.
Ἄρτεμις, -ιδος, (ἡ), Artemis, a goddess called Diana by the Romans.
ἀρχή, -ῆς, (ἡ), beginning, realm, kingdom.
ἄρχω, I rule: *mid.* I begin.
ἄρχων, -οντος, (ὁ), a magistrate, ruler.
ἀσεβής, -ές, godless, profane.
ἀσθενής, -ές, weak.
Ἀσία, -ας, (ἡ), Asia.
ἀσκέω, I practise.
Ἀσκληπιός, -οῦ, (ὁ), Asclepius, (*Lat.* Aesculapius).
ἀσπάζομαι, I welcome kindly, greet, kiss.
ἀσπίς, -ίδος, (ἡ), a shield.
ἄστυ, -εως, (τό), a city.
ἀσφαλής, -ές, safe.
Ἀταλάντα, -ης, (ἡ), Atalanta.
ἅτε, inasmuch as.
Ἀττική, -ῆς, (ἡ), Attica (*properly fem. of* Ἀττικός *agreeing with* γῆ *understood*).
Ἀττικός, -ή, -όν, Attic.
αὖ, again, on the other hand.
αὖθις, again.
αὐλητής, -οῦ, (ὁ), a flute-player.
αὐλός, -οῦ, (ὁ), a flute.
αὐξάνω, *f.* -ήσω, *aor.* 1 ηὔξησα, *pf.* ηὔξηκα, I increase: *mid.* I increase, grow (*intrans.*).
αὐτίκα, forthwith, immediately.
αὐτόν, *see* ἑαυτόν.
αὐτός, -ή, -ό, self (myself, thyself, himself, herself, itself, &c.): *in oblique cases,* him, her, it, them.
αὐχήν, -ένος, (ὁ), the neck, throat.
ἀφ-αιρέω, *aor.* ἀφ-εῖλον (*part.* ἀφ-ελών), I take away.
ἀφανής, -ές, invisible, unnoticed, secret.
ἀφανίζω, I make to disappear, hide: *mid.* I disappear.
ἀφ-είς, *see* ἀφ-ίημι.
ἀφ-ελών, *see* ἀφ-αιρέω.
ἀφ-ῆκεν, *see* ἀφ-ίημι.
ἀφ-ίημι, *f.* -ήσω, *aor.* 1 -ῆκα, *aor.* 2 *part.* ἀφ-είς, I send away, throw, I let go, drop.
ἀφίκετο, *3rd sing. aor. indic. of* ἀφ-ικνέομαι.
ἀφ-ικνέομαι, *f.* -ίξομαι, *aor.* 1 -ικόμην, *pf.* -ῖγμαι, I arrive at, arrive.
ἀφ-ίστημι, *in causal tenses, i. e. pres. impf. fut. and aor.* 1, I make to revolt: *in intrans. tenses, i. e. aor.* 2, *pf. and pluperf., also in passive,* I revolt, stand aloof.
ἄφρακτος, -ος, -ον, unguarded, off one's guard.
Ἀφροδίτη, -ης, (ἡ), Aphrodite.
ἄχθομαι, I am vexed, annoyed.
Ἀχιλλεύς, -έως, (ὁ), Achilles.

Βαβυλών, -ῶνος, (ἡ), Babylon.
βακτηρία, -ας, (ἡ), a staff.
βάλλω, *f.* βαλῶ, *aor.* 2 ἔβαλον, *pf.* βέβληκα, I throw, throw at, hit.
βάρβαρος, -ος, -ον, foreign: οἱ βάρβαροι, the foreigners.
βαρέως, heavily: βαρέως φέρειν, to be annoyed at (*Lat. graviter ferre*).
βαρύς, -εῖα, -ύ, heavy, grievous.
βασιλεία, -ας, (ἡ) a kingdom. (*Note the accent.*)
βασίλεια, -ας, (ἡ), a queen.
βασιλεύς, -έως, (ὁ), a king.
βασιλεύω, I am king, I reign.
βεβαίως, firmly, intensely: *superl.* βεβαιότατα.
βέλος, -ους, (τό), a missile, arrow, dart.
βία, -ας, (ἡ), force.
βιόω, I live.
Βίτων, -ωνος, (ὁ), Biton.
βλάπτω, *f.* βλάψω, *aor.* 1 ἔ-βλαψα, *pf.* βέβλαφα, I hurt, damage.
βοάω, *f.* βοήσομαι, I cry aloud, shout.
βοηθέω, I come to aid, help.
Βοιωτία, -ας, (ἡ), Boeotia.
Βορέας, -ου, (ὁ), Boreas, the North Wind.
βουκόλος, -ου, (ὁ), herdsman.
βουλεύω, *act. and mid.* I take counsel, deliberate, determine.
βουλή, -ῆς, (ἡ), a plan, the council.
βούλομαι, *f.* βουλήσομαι, *aor.* 1 ἐβουλήθην, *pf.* βεβούλημαι, I wish, am willing.
βοῦς, -οός, (ὁ *and* ἡ), ox, cow.
βραχύς, -εῖα, -ύ, short, little.
Βυζάντιον, -ου, (τό), Byzantium, modern Constantinople.
βωμός, -οῦ, (ὁ), altar.

Γαμέω, *f.* γαμῶ, *aor.* 1 ἔγημα, I marry.
γάρ, for.
Γαυγάμηλα, -ων, (τά), Gaugamela, a village in Assyria.
γε, at least, at any rate.
γενόμενος, *see* γίγνομαι.
γένος, -ους, (τό), race.
γῆ, -ῆς, (ἡ), earth, land, country.
γίγας, -αντος, (ὁ), a giant.
γίγνομαι, *f.* γενήσομαι, *aor.* ἐγενόμην (*part.* γενόμενος), *pf.* γεγένημαι *and* γέγονα, I become, am, happen, take place.
γιγνώσκω, *f.* γνώσομαι, *aor.* 2 ἔγνων, *pf.* ἔγνωκα, I know.
γνώμη, -ης, (ἡ), opinion, resolve.
Γοργώ, -οῦς, (ἡ), the Gorgon.
Γόρδιον, -ου, (τό), Gordium.

Γραῖαι, -ῶν, (αἱ), the Graiai, the Gray Women.

γραμματεύς, -έως, (ὁ), secretary.

Γράνικος, -ου, (ὁ), the Granicus, a river in Bithynia.

γράφω, *f.* γράψω, *aor.* I ἔγραψα, *pf.* γέ-γραφα, I write: *mid.* γράφομαι, I indict.

γυμνάζω, I train, exercise.

γυμνάσιον, -ου, (τό), a gymnasium.

γυνή, -αικός, (ἡ), a woman, wife.

Δαίδαλος, -ου, (ὁ), Daedalus, an Athenian inventor.

δαιμόνιος, -α, -ον, divine: *as noun* (*in neut.*) deity.

δάκνω, *f.* δήξομαι, *aor.* ἔδακον, *aor. part. pass.* δηχθείς, I bite.

δάκρυ, -υος, (τό), a tear.

δάκρυον, -ου, (τό), a tear.

δακρύω, I weep.

δαμάζω, I tame, subdue.

Δανάη, -ης, (ἡ), Danae, daughter of Acrisius king of Argos.

Δαναοί, -ῶν, (οἱ), the Greeks.

Δαρεῖος, -ου, (ὁ), Darius, king of Persia.

Δᾶτις, -ιδος, (ὁ), Datis, a Persian general.

δέ, but, and, now.

δεῖ, *impers. vb.* it is necessary, it behoves, one ought: δεῖ ἐμέ (*with inf.*), I ought, I must.

δείκνυμι, *f.* δείξω, *aor.* I ἔδειξα, I show, make known.

δεινός, -ή, όν, terrible, dreadful, clever.

δεινότης, -ητος, (ἡ), cleverness.

δεινῶς, terribly, skilfully.

δειπνέω, I dine.

δέκα, ten.

δέκατος, -η, -ον, tenth.

Δεκέλεια, -ας, (ἡ), Decelea, a village north of Athens.

Δελφοί, -ῶν, (αἱ), Delphi, a town in Phocis.

δένδρον, -ου, (τό), a tree.

δεξιά, -ᾶς, (ἡ), the right hand.

δεξιός, -ά, -όν, on the right, clever, favourable.

δεξιῶς, cleverly.

δέρμα, -ατος, (τό), skin, hide, fleece.

δέσποινα, -ης, (ἡ), mistress, queen.

δεσπότης, -ου, (ὁ), master, lord, king.

δεῦρο, hither.

δεύτερος, -α, -ον, second.

δέχομαι, *f.* δέξομαι, *aor.* ἐδεξάμην, *pf.* δέδεγμαι, I receive.

δέω, I bind, *pf. part. pass.* δεδεμένος.

δή, indeed, then, *emphasizing the previous word: in questions*, I pray.

Δήλιον, -ου, (τό), Delium, a town of Boeotia.

δῆλος, -η, -ον, clear, evident.
δηλόω, I make clear, explain.
δημιουργός, -οῦ, (ὁ), a skilled workman, handicraftsman.
Δημοσθένης, -ους, (ὁ), Demosthenes, an Athenian orator.
δῆτα, indeed: *in questions*, I pray.
δηχθείς, *see* δάκνω.
δῃῶ, I ravage.
Δία, Διός, *see* Ζεύς.
διά, (1) *with gen.* through, during, after: δι' ἡμέρας, all day long: διὰ πέμπτου ἔτους, every fifth year: δι' ὀργῆς ἔχω, I am angry with. (2) *with acc.* because of, on account of.
δια-βαίνω, *f.* -βήσομαι, *aor.* 2 -έβην, *pf.* -βέβηκα, I step over, cross over.
δια-βιβάζω, I transport, lead over.
διαβολή, -ῆς, (ἡ), false accusation, slander.
δια-δέχομαι, I receive from another, succeed to.
διακόσιοι, -αι, -α, two hundred.
δια-λέγω, *act.* I pick out: *mid.* I converse, discourse.
δια-μέλλω, I am always going to do, I delay.
δια-μένω, I stand firm, remain.
δια-πράσσω, I accomplish, settle.
δια-ρ-ρήγνυμι, I break through: *aor.* 1 δι-έ-ρ-ρηξα.
δια-σπάω, I tear asunder: *aor.* 1 δι-έ-σπασα.
δια-σώζω, I preserve, save: *aor.* 1 δι-έ-σωσα.
δια-τάσσω, I arrange, draw up.
δια-τελέω, I continue (*with participle*).
δια-τιτρώσκω, I wound: *aor.* 1 δι-έ-τρωσα.
δια-φέρω, I differ.
δια-φεύγω, I escape.
δια-φθείρω, *f.* -φθερῶ, *aor.* 1 -έφθειρα, *pf.* -έφθαρκα, *aor. pass.* -ε-φθάρην, *aor. part. pass.* -φθαρείς, I destroy, kill, corrupt.
διδάσκω, *f.* διδάξω, *aor.* 1 ἐδίδαξα, *pf.* δεδίδαχα, I teach, tell, bring out a play.
δίδωμι, *imp.* ἐ-δίδουν, *f.* δώσω, *aor.* 1 ἔδωκα, *pf.* δέδωκα, *aor.* 2 *inf. act.* δοῦναι, *aor. part. pass.* δοθείς, I give.
δι-έ-τρωσε, *aor.* 1 *of* δια-τιτρώσκω.
δι-ηγέομαι, I describe, narrate.
δι-ίστημι, *in causal tenses, i.e. pres. impf. fut. and aor.* 1 I separate, set at variance: *in intrans. tenses, i.e. aor.* 2, *pf. and plupf.*, *also in passive*, I stand apart, part.
δίκαιος, -α, -ον, just, righteous.

δικαστής, -οῦ, (ὁ), a judge, juryman.

δίκη, -ης, (ἡ), justice, a suit, case, charge.

Δίκτυς, -υος, (ὁ), Dictys.

Διομήδης, -ους, (ὁ), Diomede, son of Tydeus king of Aetolia.

Διόνυσος, -ου, (ὁ), Dionysus, a god corresponding to the Roman Bacchus.

Διός, *see* Ζεύς.

Διρκαῖος, -α, -ον, of Dirce.

Δίρκη, -ης, (ἡ), Dirce, wife of Lycus king of Thebes.

δίσκος, -ου, (ὁ), a quoit.

διώκω, *f.* διώξομαι, I follow, pursue.

Διώνη, -ης, (ἡ), Dione, mother of Aphrodite.

δοκέω, *f.* δόξω, *aor.* 1 ἔδοξα, I think, seem; *impersonal,* it seems, it seems good.

δόλος, -ου, (ὁ), cunning, craft

δόμος, -ου, (ὁ), house, home.

δόξα, -ης, (ἡ), reputation, glory.

δόρυ, -ατος, (τό), spear.

δουλεύω, I am a slave, serve.

δουλόω, I make a slave of, enslave.

δοῦναι, *see* δίδωμι.

δράκων, -οντος, (ὁ), dragon, serpent.

δράω, *f.* δράσω, *aor.* 1 ἔδρασα, I do.

δρέπανον, -ου, (τό), a scythe, scimitar.

δρόμος, -ου, (ὁ), a course, race, run.

δύναμαι, *f.* δυνήσομαι, *aor.* ἐδυνήθην, *pf.* δεδύνημαι, I am able, I can do.

δυνατός, -ή, -όν, able, powerful.

δύο, *gen.* δυοῖν, two.

δυσμενής, -ές, hostile, unkind.

δυστυχής, -ές, unlucky, unfortunate.

δώδεκα, twelve.

δῶρον, -ου, (τό), a gift.

Ἐάν, *contracted into* ἤν, if (*with subj.*).

ἔαρ, ἔαρος *or* ἦρος, (τό), spring.

ἑαυτόν, -ήν, -ό, himself, herself, itself, themselves.

ἐγγύς, near.

ἐ-γένοντο, *see* γίγνομαι.

Ἐγεσταῖοι, -ων, (οἱ), the people of Egesta, Egesteans.

ἔ-γημεν, *see* γαμέω.

ἐγώ, *acc.* ἐμέ *or* μέ, *gen.* ἐμοῦ *or* μοῦ, *dat.* ἐμοί *or* μοί: *dual* νώ, νῷν: *pl.* ἡμεῖς, ἡμᾶς, ἡμῶν, ἡμῖν, I.

ἔ-δακον, *see* δάκνω.

ἐ-δίδοσαν, *see* δίδωμι.

ἕδρα, -ας, (ἡ), a seat

ἔ-δωκα, *see* δίδωμι.

ἐθέλω, I wish, am willing: *impf.* ἤθελον.

ἔ-θρεψεν, *see* τρέφω.

εἰ, if, to see if: *after verbs expressing emotion*, that: εἰ μή, except, unless.

εἶ, *2nd sing. of* εἰμί.

εἰδέναι, *see* οἶδα.

εἶδον, *see* ὁράω.

εἶδος, -ους, (τό), shape, appearance.

εἰδώς, *see* οἶδα.

εἰκός, -ότος, (τό,) probable, likely.

εἴκοσι, twenty.

εἰκοστός, -ή, -όν, twentieth.

εἰκών, -όνος, (ἡ), likeness, image.

εἷλον, *see* αἱρέω.

εἰμί, *f.* ἔσομαι, *impf.* ἦν, *inf.* εἶναι, *part.* ὤν, I am: ἔστιν οἵ, some.

εἶμι, *impf.* ᾔειν, *pres. subj.* ἴω, *opt.* ἴοιμι, *inf.* ἰέναι, *part.* ἰών, I shall go, I come, I go.

εἶπον, *used as aor. of* λέγω.

εἵργω, *f.* εἵρξω, *aor.* 1 εἷρξα, I shut in, imprison.

εἴρηκα, *see* ἐρῶ.

εἰρήνη, -ης, (ἡ), peace.

εἴρηται, *see* ἐρῶ.

εἰς, *see* ἐς.

ἔξω, outside.

εἷς, μία, ἕν, one.

ἐκ, *with gen.* out of, from.

Ἑκάβη, -ης, (ἡ), Hecuba, wife of Priam king of Troy.

ἕκαστος, -η, -ον, each.

ἑκάτερος, -α, -ον, each of two, either.

ἑκατόν, a hundred.

ἐκ-βάλλω, I throw out, cast out: *aor.* 2 ἐξ-έ-βαλον.

ἐκεῖ, there.

ἐκεῖνος, -η, -ο, that, he, she, it, the former, *opposed to* οὗτος the latter.

ἐκεῖσε, thither, there.

ἐκ-λύω, I loose, untie, set free.

ἐκ-πηδάω, *f.* -πηδήσω, *aor.* 1 ἐξ-επήδησα, I leap out.

ἐκ-πίπτω, *aor.* ἐξ-έπεσον, I fall out, am exiled, am expelled.

ἐκ-πνέω, *f.* ἐκ-πνεύσομαι, *aor.* 1 ἐξ-έπνευσα, I breathe out.

ἐκ-πολιορκέω, I compel to surrender, capture: *aor. part. pass.* ἐκπολιορκηθείς.

ἐκ-σώζω, I keep safe.

Ἕκτωρ, -ορος, (ὁ), Hector, son of Priam king of Troy.

ἐκ-φαίνω, I show forth, reveal.

ἐκ-φέρω, *aor.* 1 ἐξ-ήνεγκα, I carry out, bring forth.

ἐκ-φεύγω, I escape.

ἔ-λαβον, *see* λαμβάνω.

ἔ-λαθον, *see* λανθάνω.

ἐλαύνω, *f.* ἐλῶ, *aor.* 1 ἤλασα, I drive.

ἔλαφος, -ου, (ὁ and ἡ), stag, hind.

ἐλέγχω, I examine, prove.

Ἑλένη, -ης, (ἡ), Helen.

Ἐλευσίς, -ῖνος, (ἡ), Eleusis: *loc.* Ἐλευσῖνι, at Eleusis.

ἐλεφάντινος, -η, -ον, of ivory.

ἐλθών, *see* ἔρχομαι.

ἕλκω, *impf.* εἷλκον, *f.* ἕλξω, *aor.* 1 εἵλκυσα, I draw, drag.

Ἑλλάς, -άδος, (ἡ), Hellas, Greece.

Ἕλλην, -ηνος, (ὁ), a Greek.

Ἑλληνικός, -ή, -όν, Hellenic, Greek.

Ἑλλήσποντος, -ου, (ὁ), the Hellespont, the Dardanelles.

ἐλπίζω, *aor.* 1 ἤλπισα, I hope.

ἐμ-βαίνω, I step into, embark.

ἔμβολος, -ου, (ὁ), a ram (of a ship).

ἐμέ, *see* ἐγώ.

ἔμπειρος, -ος, -ον, experienced in, acquainted with, *with gen.*

ἐμ-πίμπλημι, *aor.* 1 ἐν-έπλησα, I fill up.

ἐμ-πίμπρημι, *aor.* 1 ἐν-έπρησα, I kindle, set on fire.

ἐν, *with dat.*, in, among, on: ἐν τούτῳ, in the meanwhile: ἐν ᾧ, while.

ἐν-άγω, *aor.* ἐν-ήγαγον, I lead on, urge, persuade.

ἐναντίος, -α, -ον, opposite: *as a noun*, enemy.

ἕνδεκα, eleven.

ἔνδον, within.

ἔνδοξος, -ος, -ον, famous.

ἐν-δύω, I put on.

ἐνενήκοντα, ninety.

ἐν-έ-πλησε, *see* ἐμ-πίμπλημι.

ἐν-έ-πρησε, *see* ἐμ-πίμπρημι.

ἔνθα, there, where.

ἐνθάδε, thither, hither.

ἔνθεν, thence.

ἐνθένδε, hence, thence.

ἐν-θυμέομαι, I think over, ponder, intend.

ἐνιαυτός, -οῦ, (ὁ), a year.

ἐνίοτε, sometimes.

ἐννέα, nine.

ἐν-οικέω, I dwell in, inhabit.

ἐνταῦθα, here, there, then.

ἐντεῦθεν, hence, thence.

ἐν-τίθημι, *aor.* 1 ἐν-έθηκα, I put in: *aor. part.* ἐν-θείς.

ἐντός, within, inside.

ἐν-τυγχάνω, *aor.* ἐν-έτυχον, I fall in with, meet (*with dat.*).

ἐξ, out of, from (*with gen.*), *before a vowel*, ἐκ *before a consonant*: ἐξ οὗ, from the time when.

ἐξαίφνης, suddenly.

ἑξακισχίλιοι, -αι, -α, six thousand.

ἐξ-απατάω, I deceive thoroughly.

ἐξ-έ-βαλεν, *see* ἐκ-βάλλω.

ἔξ-ειμι, I come out, go out: *inf.* ἐξ-ιέναι.

ἐξ-έ-πεσεν, *see* ἐκ-πίπτω.

ἐξ-έρχομαι, *aor.* ἐξ-ῆλθον, I come out, go out.

ἔξ-εστι, it is impossible: *impf.* ἐξ-ῆν.

ἐξέτασις, -εως, (ἡ), examination, inspection.

ἐξ-ευρίσκω, *aor.* ἐξ-εῦρον, I find, invent.

ἐξ-ήνεγκα, *see* ἐκ-φέρω.

ἐξ-ιέναι, *see* ἔξ-ειμι.

ἐξ-ιών *partic. of* ἔξ-ειμι.

ἔξω, outside.

ἐοικώς, -υῖα, -ός, like.

ἑόρακα, *see* ὁράω.

ἑορτή, -ῆς, (ἡ), a feast.

ἔ-παθον, *see* πάσχω.

ἐπ-αίρω, *aor.* ἐπ-ῆρα, I lift up, excite.

ἐπ-άν-ειμι, I go back, return: *inf.* ἐπ-αν-ιέναι.

ἐπ-αν-ελθών, *see* ἐπ-αν-έρχομαι.

ἐπ-αν-έρχομαι, *aor.* ἐπ-αν-ῆλθον, *partic.* ἐπ-αν-ελθών, I return.

ἐπ-αν-ίστημι, *trans.* I set up again: *intrans.* rise up against, stand up. *See* ἵστημι.

ἐπ-εγείρω, I awaken, rouse up.

ἐπ-έ-γνω, *see* ἐπιγιγνώσκω.

ἐπεί, for, since, when.

ἐπ-είγω, I urge on, hasten.

ἐπειδή, since, when.

ἔπ-ειμι, I come upon, attack: ἐπ-ιών, following.

ἔπειτα, afterwards, then.

ἐπ-έρχομαι, I come upon, go against, attack.

ἔ-πεσον, *see* πίπτω.

ἐπ-εύχομαι, I pray to.

ἐπ-ῆρα, *see* ἐπ-αίρω.

ἐπί, (1) *with gen.* in the direction of, towards, on: ἐφ' ἡμῶν, in our time: ἐφ' ἵππου, on horseback.

(2) *with dat.* on, in addition to, against: ἐπὶ τούτοις, thereupon: ἐφ' ᾧτε, on condition that: ἐπὶ λόγοις, upon terms.

(3) *with acc.* to, towards, upon, for, against: ἐπὶ τοῦτο, for this purpose.

ἐπι-βαίνω, I go upon, mount on, board.

ἐπι-βάλλω, I throw upon, throw at.

ἐπιβάτης, -ου, (ὁ), a soldier on board ship, marine.

ἐπι-βοηθέω, I come to aid, succour.

ἐπι-βουλεύω, I plot against (*with dat.*).

ἐπι-γίγνομαι, *aor.* -εγενόμην (*partic.* -γενόμενος), I succeed, follow, fall, come upon.

ἐπι-γιγνώσκω, *aor.* ἐπ-έγνων, I recognize.

ἐπι-θυμέω, I desire, am desirous.

ἐπι-καλέω, I call upon, invoke, invite.

ἐπί-κειμαι, I lie upon, press upon.

ἐπι-κρατέω, I rule over, conquer.

ἐπι-κουρέω, I help.

ἐπι-λαμβάνω, *aor.* ἐπ-έλαβον, I take in addition, take hold of, seize, attack.

ἐπι-νεύω, I nod upon.

ἐπι-νοέω, I think of, intend.

ἐπίσταμαι, I know how to, understand.

ἐπι-στατέω, I am in charge of, have the care of, preside over.

ἐπιστήμη, -ης, (ἡ), understanding, knowledge, skill.

ἐπι-στρατεύω, I march against, make war upon: *same sense in mid.*

ἐπι-τάσσω, *aor.* 1 ἐπ-έταξα, I bid.

ἐπιτήδεια, -ων, (τά), provisions, supplies.

ἐπιτήδευμα, -ατος, (τό), business, pursuit.

ἐπι-τίθημι, *aor. part.* ἐπι-θείς, I place upon, put in: *mid.* attack.

ἐπι-τυγχάνω, I meet with, encounter (*with dat.*).

ἐπι-φέρω, I bring upon: *pass.* I attack.

ἐπι-χειρέω, I endeavour, attempt, attack.

ἐπιχείρησις, -εως, (ἡ), an attempt, attack.

ἐπ-ιών, *pres. part. of* ἔπ-ειμι.

ἐ-ποίουν, *for* ἐ-ποίε-ον, *impf. of* ποιέω.

ἐπ-οκέλλω, *aor.* 1 -ώκειλα, I run aground.

ἕπομαι, *impf.* εἱπόμην, *aor.* ἑσπόμην, I follow.

ἐπ-ονομάζω, *aor. pass.* ἐπ-ωνομάσθην, I give a new name to, call.

ἔπος, -ους, (τό), a word, poem.

ἑπτά, seven.

ἑπτακισχίλιοι, seven thousand.

ἔργον, -ου, (τό), work, deed.

ἐρέτης, -ου, (ὁ), a rower.

ἐρῆμος, -ος *or* -η, -ον, desolate, lonely: ἐρήμη δίκη, condemnation by default.

Ἐρινύς, -ύος, (ἡ), the Erinys, the Avenger, a name given to the Furies.

ἔριον, -ου, (τό), wool.

ἔρις, -ιδος (*but acc.* ἔριν), (ἡ), strife.

Ἑρμῆς, -οῦ, (ὁ), Hermes, the messenger of the gods.

Ἑρμιόνη, -ης, (ἡ), Hermione, daughter of Menelaus and Helen.

ἔ-ρ-ρηξε, *see* ῥήγνυμι.

ἔρχομαι, *f.* εἶμι *or* ἐλεύσομαι, *aor.* ἦλθον (*inf.* ἐλθεῖν, *partic.* ἐλθών), *pf.* ἐλήλυθα, I come, go.

ἐρῶ, *pf.* εἴρηκα, *pf. pass.* εἴρημαι, I will speak, say.

ἐρωτάω, I ask.

ἐς, *with acc.*, into, to the number of, to, for.
ἐσ-βαίνω, I go into, embark.
ἐσ-βάλλω, I throw into, invade: *aor.* 2 ἐσ-έβαλον.
ἔ-σβεσα, *see* σβέννυμι.
ἐσβολή, -ῆς, (ἡ), invasion, attack.
ἐσ-ελθών, *aor. part. of* ἐσ-έρχομαι.
ἐσ-έρχομαι, I go into, enter.
ἐσθής, -ῆτος, (ἡ), dress, clothing.
ἐσθίω, *f.* ἔδομαι, I eat.
ἔσοδος, -ου, (ἡ), entrance, pass.
ἐσόμενος, *fut. part. of* εἰμί.
ἕσπετο, *see* ἕπομαι.
ἔ-στη, *see* ἵστημι.
ἕ-στηκεν, *see* ἵστημι.
ἐστί, ἐστίν, *3rd sing. of* εἰμί.
ἔ-σχον, *see* ἔχω.
ἐ-σώθην, *see* σώζω.
ἑταῖρος, -ου, (ὁ), companion, comrade.
ἐ-τέθην, *see* τίθημι.
ἕτερος, -α, -ον, one of two, the other, different, other.
ἔτι, still, any longer.
ἐ-τίμων, *for* ἐ-τίμα-ον, *impf. of* τιμάω.
ἔτος, -ους, (τό), year.
ἐ-τράφησαν, *see* τρέφω.
ἔ-τρωσεν, *see* τιτρώσκω.
εὖ, well.
Εὔβοια, -ας, (ἡ), Euboea, an island off the east coast of Greece.
εὐδιαίτερος, -α, -ον, *compar. of* εὔδιος.
εὔδιος, -ος, -ον, calm, gentle.
εὔδοξος, -ος, -ον, famous, glorious.
εὐ-εργετέω, I show kindness to: *aor.* 1 εὐ-ηργέτησα.
εὐθύς, immediately.
εὐκλεής, -ές, famous: *comp.* εὐκλεέστερος, *sup.* εὐκλεέστατος.
Εὔμαιος, -ου, (ὁ), Eumaeus, the swineherd of Ulysses.
εὐμενής, -ές, well-disposed, kindly.
εὔνους, -ους, -ουν, well-disposed, kindly.
εὐπρεπής, -ές, decent, comely.
Εὐριπίδης, -ου, (ὁ), Euripides, a Greek tragedian.
εὑρίσκω, *f.* εὑρήσω, *aor.* εὗρον, *pf.* εὕρηκα, I find.
Εὖρος, -ου, (ὁ), Eurus, the East Wind.
Εὐρυδίκη, -ης, (ἡ), Eurydice, wife of Alexander.
Εὐρυσθεύς, -έως, (ὁ), Eurystheus, king of Argos and Mycenae.
Εὔρυτος, -ου, (ὁ), Eurytus.
εὐτυχέω, *aor.* ηὐτύχησα, I am fortunate, am successful.
εὐχή, -ῆς, (ἡ), prayer.

εὔχομαι, *f.* εὔξομαι, *aor.* 1 ηὐξάμην, I pray.
ἐφ' ᾧτε, *see* ἐπί.
Ἔφεσος, -ου, (ἡ), Ephesus, a town on the coast of Asia Minor.
ἐφ-ευρίσκω, *aor.* ἐφ-εῦρον, I find.
ἔφηβος, -ου, (ὁ), a youth.
ἐ-φοίτων, *for* ἐ-φοίτα-ον, *impf. of* φοιτάω.
ἐ-φόρουν, *for* ἐ-φόρε-ον, *impf. of* φορέω.
ἐ-χάρη, *see* χαίρω.
ἐχθρός, -ά, -όν, hating, at enmity with: *as noun*, enemy.
ἔχις, -εως, (ὁ), an adder, viper.
ἔχω, *f.* ἕξω *or* σχήσω, *impf.* εἶχον, *aor.* ἔσχον, *pf.* ἔσχηκα, I have, hold, possess: *with adv.* I am.
ἕως, until.
ἕως, -ω, (ἡ), dawn.
ἔωσα, *see* ὠθέω.

Ζάω, *f.* ζήσω, *pres. inf.* ζῆν, I live.
ζεύγνυμι, *f.* ζεύξω, *aor.* 1 ἔζευξα, *aor. pass.* ἐζεύχθην, I yoke.
Ζεύς, *gen.* Διός, *acc.* Δία, *dat.* Διί, Zeus.
Ζέφυρος, -ου, (ὁ), Zephyr, the West Wind.
Ζῆθος, -ου, (ὁ), Zethus, brother of Amphion.
ζημιόω, *aor.* ἐ-ζημίωσα, I punish.
ζητέω, I seek.
ζυγόν, -οῦ, (τό), yoke.
ζωγρέω, I take alive, take captive.
ζώνη, -ης, (ἡ), belt, girdle.
ζῷον, -ου, (τό), living being, beast.
ζωστήρ, -ῆρος, (ὁ), belt, girdle.

Ἤ, than, or: ἢ . . . ἤ, either . . . or.
ᾖ, 3 *sing. pres. subj. of* εἰμί.
ἡ, *see* ὁ.
ᾗ, where.
ἡβάω, I am young, become a young man, grow up.
ἥβη, -ης, (ἡ), youth.
ἡγεμών, -όνος, (ὁ), leader.
ἡγέομαι, I lead, think.
ἤδη, now, already, by this time.
ἥδομαι, *f.* ἡσθήσομαι, *aor.* ἥσθην (*part.* ἡσθείς), I am glad, rejoice.
ἡδύς, -εῖα, -ύ, sweet, pleasant, welcome: *comp.* ἡδίων, *superl.* ἥδιστος.
ἧκε, *see* ἵημι.
ἥκω, I have come.
ἤλασα, *see* ἐλαύνω.
Ἠλέκτρα, -ας, (ἡ), Electra, daughter of Agamemnon.
ἥλιος, -ου, (ὁ), the sun: Ἥλιος, Helios, the sun-God.
Ἦλις, -ιδος, (ἡ), Elis, a state in the Peloponnesus.
ἡμεῖς, *see* ἐγώ.

ἤ-μελλον, *see* μέλλω.

ἡμέρα, -ας, (ἡ), day.

ἠμφι-εσμένος, *see* ἀμφι-έννυμι.

ἦν, *see* εἰμί.

ἤν, if, *with subj.*

ἤνεγκον, *see* φέρω.

ἡνίοχος, -ου, (ὁ), charioteer.

